[5]) De τριττυία voce (alias τριττύα, cf. fr. 138.) cf. Schol. Ar. Plut. 820. Eustath. p. 1676, 37. et fr. δωδεκίδες vel τριττύς, cf. Suid., ex ipso Pausania petitum.

57. [1]) Omnia atticistarum esse puto. Fragmentum νεῶνες enim, ex A. D. petitum praecedit, et Suid. (= B. A. 424, 25) eandem profert doctrinam; ἀπηλιώτης ὁ ἄνεμος ἐν τῷ π, καὶ ἀντήλιος, καὶ πάντα τὰ ὅμοια ψιλῶς. καὶ ἡ ἔπηλις ἔστι παρὰ Ποσειδίππῳ. Glossas αὐτόδιον, ἔπηλις, ἀντήλιος Hes. repetivit. — Saepissime de Ionum ψιλώσει Aelium D. disputasse inter omnes constat. cf. αἴνω, ᾀνύω, ἅμαξα etc. — De voce ἀντήλιος cf. fr. παρώπιον. — αὐτόδιον eodem modo explicat Eust. 1605, 8.

58. [1]) Eadem B. A. 411, 28. ἀνύττειν οἱ Ἀττικοί, ὅπερ ἡμεῖς (cf. Eust. 1216, 62), ἀνύειν δὲ τὸ σπεύδειν, δασεῖα δὲ ἡ πρώτη. Doctrina recurrit B. A. 14, 17. ἀνύειν δασύνουσιν οἱ Ἀττικοί. καὶ δῆλον ἐκ τῆς συναλοιφῆς. καθήνυσαν γὰρ (cf. Hes. καθανύσαι) Moer. s. v. ἥνυσα. et ἀνύσας λέγε. — Etymologica tantum ἀνύω cum ἄνω, ἄνομαι iungere student, cf. Eust. p. 802, 26. 453, 51. 1784, 39.

Ἀττικοὶ δὲ κατὰ Αἴλιον Διονύσιον ἐκτείνουσι τὴν ὑστέραν τοῦ ἅπαν[1]). *ἕτερος δὲ ῥήτωρ ἐν οἰκείῳ λεξικῷ γράφει, ὅτι ὁ λόγος ἀξιοῖ βραχύνειν τὸ ἅπαν. τὰ γὰρ παρασχηματιζόμενα τοῖς εἰς ας οὐδέτερα βραχύνονται, οἷον μέλαν, τάλαν.*

60. Eustath. p. 1857, 13. *ἐκ δὲ τοῦ μάσσειν καὶ ἀπομάγματα καὶ ἀπόμακτρα· τὰ ἀποκαθάρματα*[1]), *καὶ μαγδαλιὰ παρὰ τῷ κωμικῷ* (Equ. 412)[2]) *παρὰ δὲ ἄλλοις καὶ ἀπομαγδαλιὰ καὶ ἀπομαγδαλὶς ψωμὸς εἰς ὃν ἐκματτόμενοι τὰς χεῖρας μετὰ δεῖπνον ἐρρίπτουν κυσί*[3]). *Παυσανίας*[4]) *δέ φησιν, ὅτι ἀπομαγδαλιὰ σταῖς, ὃ ἔφερον ἐπὶ τὸ δεῖπνον, εἰς ὃ τὰς χεῖρας ἀποματτόμενοι εἶτα τοῖς κυσὶν ἔβαλλον, διὸ † κύνα, φησί, τὸ τοιοῦτον Διοσκουρίδης*[5]) *προσαγορεύει.*

---

59. [1]) Conv. Suid. B. A. 416, 11., ubi *ὁ ποιητής* restituendum est. — Recte A. D. disputasse constat. Doctrina rhetoris illius ignoti iteratur ap. Theogn. Dichr. 290, 1 (Herod. Lentz. I. 350, 5. 533, 29. sqq.), ubi Atticos contra regulam grammaticorum ultimam vocis *ἅπαν* syllabam produxisse conceditur.

60. [1]) Conv. B. A. 431, 31.

[2]) Vocis forma *μαγδαλιά* recurrit apud Schol. Ar. Eq. 414. (cuius secundam et tertiam explicationem Suid. s. v. *ἀπομαγδαλιά* inverso ordine transtulit).

[3]) Conv. B. 431, 27., unde Rindfl. p. 2. squ. collegit hanc explicationem A. D. tribuendam esse.

[4]) Pausaniae doctrinam repetit Hes. *ἀπομαγδαλιάς* et tertium schol. Ar. Equ. 414. (= Suid.) — Eadem explicatio paullum immutata ap. Poll. VI. 93. — Eustath. p. 432, 34. *ἐκ τοῦ μάσσειν καὶ τὸ ἐκμαγεῖον γίνεται* (cf. Eust. 1857, 12. Suid. s. v.). — *καὶ τὸ χειρόμακτρον καὶ ἡ μαγδαλιά, ἥτις ἦν ζύμωμά τι, ἐν ᾧ ἀποματτόμενοι τὰ ἐκ τῶν βρωμάτων λιπαρὰ ῥύπη οἱ παλαιοὶ ἔρριπτον κυσίν.* Quae doctrina atticistis debetur. Eodem ordine Poll. l. l. de vocabulis *ἐκμαγεῖον, χειρόμακτρον, ἀπομαγδαλιά* agit et vocabulum inusitatum similiter atque Paus. explicat: *αἳ ἦσαν τὸ ἐν τῷ ἄρτῳ μαλακὸν καὶ σταιτῶδες, εἰς ὃ ἀποψησάμενοι τοῖς κυσὶν αὐτὸ παρέβαλλον, ὅθεν καὶ Λακεδαιμόνιοι κυνάδα τὴν ἀπομαγδαλιὰν καλοῦσιν· ὑποδηλοῖ δὲ καὶ Ὅμηρος κ* 217. Eust. vero ad *κ* 217 (1655, 37) ad l. l. ex atticistis petitum provocat!! Et. M. 587, 47 ex eodem loco Homerico proficiscitur, et similem in modum explicat.

[5]) Dioscurides fuit sine dubio auctor ille, quem de Lacedaemoniorum republica egisse Ath. IV. 140B testatur. Cum autem ex Poll. l. l. Lacedaemonios *κυνάδα* = *ἀπομαγδαλιάν* dixisse discas, eademque iterum doceat Athen. IX. 409D *ὥς φησι Πολέμων ἐν τῇ περὶ ὀνομάτων ἀδόξων ἐπιστολῇ,* Dioscuridem ex Ath. IV. 140F. de variis panum Laco-

61. Eustath. p. 965, 44. κεῖται δὲ τὸ ἀποσιμοῦσθαι[1]) παρὰ τοῖς παλαιοῖς, παρ' οἷς οὐ μόνον ἀπεσίμωσε τὸ ὕφωσε καὶ πρὸς τὸ λαμπρότατον ἤγαγε κατὰ Παυσανίαν ἀλλὰ καὶ ἀποσιμῶσαι τὸ μετεωρίσαι τὰς ναῦς παρὰ Θουκυδίδῃ.

62. Eustath. p. 967, 21. ὁ παρὰ τῷ Παυσανίᾳ διὰ τοῦ χ τύχος[1]), ὡς ἐκεῖνός φησι, λιθοξοϊκόν ἐστι σιδήριον, ἀφ' οὗ ἀποτυχίσαι λίθον τὸ ἀποπελεκῆσαι.

63. Eustath. p. 866, 18. ἀπόψυξις[1]) ἡ ἀποπνευμάτωσις, ὡς Παυσανίας δηλοῖ.

64. Eustath. p. 286, 17. παροιμία — φέρεται τὸ „Ἀργεία φορά"[1]) παρὰ Παυσανίᾳ. ἐσκώπτοντο γάρ, φησιν, Ἀργεῖοι εἰς φιλοδόξους (em. φιλοδίκους Meier) καὶ συκοφάντας.

65. Eustath. p. 183, 12. ἔτι ἰστέον, καὶ ὡς ἐν τῷ Παυσανίου λεξικῷ φέρεται ἀργειφόντης[1])· ὁ ὀφιοκτόνος. ἄργην γάρ, φησιν, ἔνιοι τὸν ὄφιν καλοῦσιν. [οὐ μέντοι ἱστορεῖ καὶ πῶς ὀφιοκτόνος ὁ Ἑρμῆς].

---

nicorum generibus egisse appareat, κυνάδα pro miro illo κύνα apud Eust. l. supra laud. mutaverim. Hes. κυνάδες· αἱ ἀπομαγδαλιαί.

61. [1]) De ἀπεσίμωσα eadem Hes. 4. Quae de ἀποσιμῶσαι profert, recurrunt apud Suid. B. A. 434, 22. ἀποσιμῶσαι, τὸ ἐπικύψαι καὶ τὴν πυγὴν προτεῖναι γυμνήν. Φίλιππος. Θουκυδίδης δὲ τὸ μετεωρίσαι τὰς ναῦς cf. Schol. Thuc. IV. 25. — Marcellin. 52. vocem ἀποσίμωσιν Thucydidis propriam esse contendit. Cum locus sit corruptissimus, ἀπεσίμωσεν restituere non dubito. Et. M. 125, 51 aliena profert.

62. [1]) Conv. Hes. s. v. τύχοι. Ex eodem fonte prodierunt: Hes. ἀποτυχισθείς· ἀντὶ τοῦ ἀποτιλθεὶς καὶ τὸ ἀποτυχισθὲν ἐπὶ τοῦ ἀποπελεκῆσαι τὸν λίθον, ἀπὸ τῶν τύχων. ἐστὶ δὲ λιθοξοϊκὸν σιδήριον. B. A. 438, 17. ἀποτυχίσαι· τὸ ἀποπελεκίσαι. καὶ ἀποτυχισθείς· ἀποτιλθεὶς ἢ ἀποπελεκισθείς.

63. [1]) Similia Hes. ἀποψύχειν· ἀποπατεῖν, ἀποπνευματίζειν, ἀφοδεύειν. cf. Et. M. 127, 17. Hes. s. v. ἀπεψύχη. Suid. ἀποψύχειν· τὸ ἀποθνήσκειν. ἐν πρώτῃ Θουκ. (I. 134). σημαίνει δὲ καὶ τὸ ξηραίνειν, ὡς τὸ

ἀποψύχειν ἐν [τῷ] κλιβάνῳ λίνα τὰ ὑγρανθέντα.

cf. B. A. 440, 10. Cum τερσαίνειν (= ξηραίνειν) voce coniunctum habes ἀποψύχειν l. l. cf. fr. 76. 305. Suidae doctrina ἀποψύχειν = ξηραίνειν profertur ap. Hes. s. v. ἀπεψύχοντο.

64. [1]) Similia Hes. Diogen. II. 79. Apost. III. 76. Aliud proverbium protulit Suid. ἀργεῖοι φῶρες, quod a nostro distinguendum neque cum Schotto ad Diog. II. 79. corrigendum est, cf. Append. prov. III. 35 (cf. Crusius, Anall. p. 55, Adn. 1.) Suid. Hes. Ἀργείους ὁρᾷς.

65. [1]) Exilis doctrina si cum doctissima Harpocrationis glossa ἀργᾶς

66. Eustath. p. 707, 33. ἀρδάνιον παρὰ Αἰλίῳ Διονυσίῳ τὸ ἀπὸ τοῦ πυθμένος τοῦ κεραμείου ἕως τῆς γαστρὸς, ἐν ᾧ ἄρδουσι θρέμματα[1]). Παυσανίας δέ φησιν ὅτι ἀρδάνια κεράμων γάστραι ἀπὸ τοῦ ἄρδειν τὰ βοσκήματα[2]). προετίθεντο δέ, φησιν, τῶν θυρῶν. εἰ δὲ καὶ ὁ ἄρδαλος καὶ τὸ ἀρδαλῶσαι καὶ ἡ ἀρδαλία ἐκ τοῦ τοιούτου γίνεται ῥήματος, οὐκ ἔστι σταθερῶς ἐπικρῖναι. τέως δὲ κατὰ Παυσανίαν[3]) Φερεκράτης ποιεῖ τινα ἐκμασσόμενον ἀπὸ πυρετοῦ λέγοντα·

---

compares. Αἰσχίνης περὶ τῆς ἀποδόσεως. πιθανώτερόν ἐστι λέγειν, ὅτι Δωριεῖς, μάλιστα δ' Ἀργεῖοι, τὸν ὄφιν ἀργᾶν λέγουσιν, ὡς Ἀχαιὸς ἐν Ἀδράστῳ (fr. 1). Τίμαρχος (Τιμαχίδας Maussacus) δὲ ὁ Ῥόδιος οὐ κατὰ γλῶτταν καλεῖσθαι τὸν ὄφιν ἀργᾶν φησιν, ἀλλὰ γένος τι εἶναι ὄφεως τοὺς ἀργᾶς. κτλ. Quae verba, in epitome initio paullo fusiora, repetita habes apud Suid. s. v. Novum quoddam intulit B. A. 442, 29. haec verba inserens: ἄλλοι δέ φασιν αὐτὸν κακὸν ποιητὴν γεγονέναι (cf. Athen. XIV. 638 C), quae redeunt in Schol. Aesch. II. 99. Hes. s. v. ἀργᾶς. Serpentes ἀργᾶς vocatas esse vid. ap. Suid. Δημοσθένης s. f. et Hes. s. v. ἀργῆν ἔπεφνες (quocum cf. Harp. s. v. ἔνιοι δὲ τοῦ δράκοντος εἶναί φασι τὸ ἀργᾶν ἐπίθετον). Freyer p. 275 sqqu. propterea, quod B. A. et Suid. inter se concinunt, illorum glossas ad Pausaniam revocat. Nab. Prol. 103. omnes eundem fontem adiisse censet.

66. [1]) Ad Ael. Dion. respicit Hes. s. v. ἀρδαλία.

[2]) Paus. repetitur apud B. A. 441, 30 (= Suid. Zon. I. 302. Tittm.) Hes. Schol. Eur. Alc. 99. Phot. s. v. ὀρδάνιον, unde velim addas, quae Eust. inconsiderate omisit, Pausaniae verba: ἐτίθετο δὲ πρὸ τῆς θύρας τῶν τετελευτηκότων τοῖς εἰσιοῦσι καὶ ἐξιοῦσιν, ἵνα περιρραίνωνται. cf. Poll. VIII. 66.

[3]) Etiam voces ἄρδαλος, ἀρδαλῶσαι, ἀρδαλία atticistae tribuendae sunt cf. Prol. p. 49. Pausaniam haec ex Aristophane Byzantio transscripsisse constat, cf. Nauck. Ar. Byz. p. 203 et L. Cohn, N. Jahrbb. XII. 291. sqqu., qui ab eodem Eustathii loco p. 1761, 30. profecti sunt (recte cum Cohnio libro περὶ τῶν ὑποπτευομένων μ. ἑ. τ. π. attributo). συνάπτει δὲ τούτοις ξενικὸν καὶ τὸ ἀρδαλῶσαι ἤγουν μολῦναι προφέρων καὶ τὸ

τὴν μὲν ἄρδαν ἀπ' ἐμοῦ σπόγγισσον

καὶ τὸ

Αἰγύπτιος θοἰμάτιον ἠρδάλωσέ μου. (Philemon fr. 59. Kock). cf. Mill. Mél. p. 427. (ex Ar. Byz.) ἀρδαλῶσαι ἐπὶ τοῦ μολῦναι. Et. M. 436, 41. Erot. p. 56, 9 Klein. Galen. Gloss. Hippocr. vol. XIX. p. 85. Kühn. Phot. Hes. ἠρδαλωμένος (= Lex. Bachm. 252, 5) Hes. s. v. ἀρδαλωμένους. Erotiani locus contra Nauckium (p. 203. n. 27) tuendus est; vocem ἄρδαλος enim et adiectivi et substantivi sensu, ut Lobeckio in Pathol. p. 245. placuit, adhibitam esse disces ex Hes. glossis ἄρδαλος. μό-

τὸν ἱδρῶτα καὶ τὴν ἀρδαλίαν ἀπ᾽ ἐμοῦ σπόγγισον
(fr. 33. Kock)

[*τὸ μέντοι ἄρδην*[4]) *ἐπίρρημα οὐκ ἂν οὐδ᾽ αὐτὸ παραγάγοι τινὰ ὡς ἐκ τοῦ ἄρδω γίνεται, ἀλλὰ μάλιστα ἐκ τοῦ αἴρειν, ὥσπερ ἐκ τοῦ ἀείρειν γίνεται τὸ ἀέρδην*]. *ἔστι γάρ, φασιν, ἀντὶ τοῦ φοράδην. Εὐριπίδης Ἀλκήστιδι* (624)

νέκυν ἤδη πρόσπολοι
φέρουσιν ἄρδην ἐς τάφον τε καὶ πυράν.

67. Eustath. p. 600, 46. *σχίσματα γάρ τινα οἱ θύσανοι. ὅθεν ἀρειθύσανοι*[1]) *κατὰ Παυσανίαν Ἄρεος θύσανοι οἱονεὶ ἀποσχίσματα παρ᾽ Αἰσχύλῳ ἐν Προμηθεῖ λυομένῳ* (fr. 203. Nauck.)

68. Eustath. p. 1178, 54. *ἰστέον δὲ καὶ ὡς ἐκ τοῦ Ὁμηρικοῦ ἀρέσασθαι καὶ πέμματά τινα ἱερὰ λέγεσθαί φησιν Αἴλιος Διονύσιος ἀρεστῆρας*[1]), *δι᾽ ὧν ἔστι δηλαδὴ πρὸς τὸ θεῖον ἀρέσασθαι.*

69. Eustath. p. 799, 37. *ἀρηνοβοσκὸς*[1]) *ὁ προβατοβοσκὸς κατὰ Παυσανίαν, ἐκ μέρους δηλαδή. ἐν δὲ ἀνωνύμῳ ῥητορικῷ λεξικῷ καὶ ἐρενοβοσκὸς ὁ αὐτὸς φέρεται διὰ τὸ ε̄.*

70. Eustath. p. 403, 5. *δῆλον δὲ ὅτι ἀπ᾽ αὐτῶν* (sc. *Ἀμαζόνων*) *καὶ παροιμία φέρεται τὸ „ἄριστα χωλὸς οἰφεῖ“. ἐπήρουν μὲν γάρ, φασιν, Ἀμαζόνες ἀρρένων σκέλος ἢ δεξιὰν*

λυσμα et *ἀρδάλους· εἰκαίους.* — Pherecratis versus sec. Eust. 1761, 31 (id. est Ar. Byz.) corrigendus est.

[4]) Solam explicationem *ἄρδην· φοράδην* ad att. referendam puto. Recurrit ap. Suid. Schol. Ar. Thesmoph. 274. Hes. — Etymologia debetur Philoxeno cf. Et. Or. p. 20, 21. ed. Sturz.

67. [1]) Conv. Hes. *ἀρ[ε]ιθύσονοι. ἡνίοχοι* (*ἀποσχίσματα καὶ* † *ἀποκλαστήματα*) et paullo infra s. v. *ἀρθύσανοι·* † *ἀποσχήματα καὶ ἀποβλαστήματα,* quae glossae se invicem emendant. *θύσανοι* ap. Eust. p. 976, 28 (= Phot. Suid. Hes. Schol. Herod. II. p. 454.) explicantur, quae verba fortasse ad eundem Atticistam referenda sunt.

68. [1]) Eadem doctrina Eustath. p. 660, 31. Et. M. 138, 54. Paullo immutatis verbis apud Suid. Zonar. I. 238. B. A. 215, 29. In brevissima contracta apud Hes. B. A. 443, 32. Poll. VI. 76 *ἀρεστῆρας* in liborum deis sacrorum numero exhibet, cf. fr. 51. 94.

69. [1]) Bis recurrit Pausaniae doctrina apud Hes. *ἀρενοβοσκός* et *ἀρηνοβοσκός, προβατοβοσκὸς. Σοφοκλῆς Τυροῖ β'* (fr. 594.). *γράφεται δὲ καὶ ἐρρενοβοσκὸς διά τε τοῦ ε καὶ τῶν δύο ρ.* Et. M. 377, 22. *ἐρηνοβοσκός,* Phot. *ἐρρηνοβοσκὸς* qui eodem modo atque Eust. l. l. a voce ‚*ἄρην* = agnus‘ glossam derivat.

χεῖρα. Σκυθῶν δὲ προκαλουμένων αὐτὰς αὐτοῖς συνοικεῖν, ὡς ἀπηρώτοις οὖσι κατὰ Παυσανίαν Ἀντιάνειράν φασι μίαν τῶν Ἀμαζόνων θρασεῖαν οὖσαν καὶ ἀκόλαστον εἰπεῖν. „ἄριστα χωλὸς οἰφεῖ“ ὡς ἀρχουμένων αὐτῶν τοῖς χωλοῖς[1]).

71. Eustath. p. 1935, 2. ἰστέον δὲ ὅτι οὐ μόνον διὰ θείου ἐγίνοντο καθαρμοί, καθὰ προσεχῶς ἐγράφη, ἀλλὰ καὶ φυτά τινα εἰς τοῦτο χρήσιμα ἦν. ἀριστερεὼν γοῦν φυτὸν κατὰ Παυσανίαν ἐπιτήδειον εἰς καθαρμόν.

72. Eustath. p. 302, 27. ἰστέον δὲ ὅτι ἐν τοῖς Παυσανίου φέρεται, ὅτι Ἀρκὰς κυνῆ[1]) ἐλέγετό τις, ἤτοι Ἀρκαδικὸς πῖλος, διὰ τὸ ἔχειν ὡς εἰκός τι διάφορον πρὸς τὰ ὁμοειδῆ, καὶ ὅτι Ἐρατοσθένης παρὰ Ἀρκάσι φησὶ φελλὸν μέσον τι πρίνου καὶ δρυός, ὃ ἐνίους θηλύπρινον καλεῖν, καὶ ὅτι παροιμία ἦν τὸ ‚Ἀρκάδας μιμούμενος‘ ἐπὶ τῶν ἄλλοις ταλαιπωρούντων. μαχιμώτατοι γὰρ ὄντες αὐτοὶ μὲν οὐδέποτε ἐνίκησαν, πολλοῖς δὲ ἄλλοις αἴτιοι τοῦ νικᾶν ἦσαν, ὅθεν καὶ Πλάτων ὁ κωμικὸς διὰ τὸ τὰς κωμῳδίας φησὶν αὐτὸς ποιῶν ἄλλοις ἐκδιδόναι διὰ πενίαν Ἀρκάδας μιμεῖσθαι ἔφη[2]). ἕτερος δὲ ῥήτωρ ἐπιδραμὼν τὰ πολλά φησιν· Ἀρκάδας μιμούμενος ἤγουν ἄλλοις ταλαιπωρῶν. οἱ γὰρ Ἀρκάδες ὑπὲρ ἑτέρων ἠνδραγαθίζοντό φησιν. ὃ δὴ καὶ Ἡρακλῆς ἔπασχεν, ἐξ οὗ καὶ παροιμία

---

70. [1]) Proverbium fere αὐτολεξεί repetitum in cod. Coisliniano Diogeniani, cf. Paroemiogr. I. 196, 7, in quibus Leutschius Pausaniae vestigia agnoscit. Diversa neque tamen a consilio aliena profert Apostol. III. 92. (= Zenobius Milleri Mél. p. 370.) Diog. II. 2. Schol. Theocr. IV. 62. — Plane diversa Suid. s. v. ἄριστα (= Macar. II. 40.) = initium proverbii in cod. C. prolati. Proverbium ipsum iam Ath. XIII. 568E exhibet.

71. [1]) Conv. Hes. ἀριστερεών. φυτὸν τῶν εἰς τοὺς καθαρμοὺς παραλαμβανομένων. Rem recte se habere docet Plin. XXVII. 4, 6., ubi optimi codd. ‚aristereon‘ praebent.

72. [1]) conv. Hes. Ἀρκὰς κυνῆ· Ἀρκαδικὸς πῖλος· Σοφοκλῆς Ἰνάχῳ (fr. 250. Nauck. cf. Schol. Ar. Av. 1203).

[2]) conv. Suid. s. v. Ἀρκάδας μιμούμενοι (= Apostol. III. 73). Similia Zenob. II. 59. (= Hes.) Macar. II. 41. Proverbium quod ex Platonis Pisandro (fr. 99. Kock) affertur, non ad Herculem sed ad Aristophanem reducendum esse Schol. Plat. Apol. 19B luculentissime docet. Mirum quod αὐτός (= Aristophanes) eundem in modum apud Suid. s. v. Ἀρκάδας μιμούμενος. (= Apostol. III. 73) redit. Simillima praebet Zenob. II. 59. = Hes. Macar. II. 41.

ἐπὶ τῶν ἄλλοις μοχθούντων τὸ ‚ἐν τετράδι γεννηθῆναι‘ κατὰ τὸν Ἡρακλέα δηλαδή, ὅς ἐν μηνὸς τετάρτῃ γεννηθεὶς ἄλλοις ἤθλει[3]).

73. Eustath. p. 1535, 17. καὶ ἀπαρκίας[1]) ἄνεμος, ὡς ἐν ῥητορικῷ κεῖται λεξικῷ, καὶ ἡ πνοὴ αὐτοῦ ἄρκιος καὶ ἄρκυες[2]) λίνα περιτιθέμενα θηρίοις. οὗ τὸ πρωτόθετον ὡς ὁ Παυσανίας φησὶν ἀπὸ τῶν ἄρκων. ὅτι δὲ καὶ ἐδασύνοντο Ἀττικῶς αἱ ἅρκυες[3]) οὐκ ἄδηλον. καὶ φέρεται χρῆσις Εὐπόλιδος τοιαύτη·

σὺ δὲ καλώδια ταῦθ᾽ ἁρκυώρει (fr. 313. Kock)

ὅ ἐστι φύλασσε, ἐπεὶ καὶ ἁρκυωρὸς[4]) ὁ τῶν ἁρκύων φύλαξ. ἀφ᾽ οὗ τὸ ἁρκυωρεῖ[5]), ὁμοίως τῷ ἡμερωρεῖν[6]), ὅ ἐστιν ἡμεροφυλακεῖν[7]).

73a. Et. Mag. p. 146, 51[1]). ἀρνευτήρ· ὁ κυβιστητήρ[2]). ‚ὁ δ᾽ ἀρνευτῆρι ἐοικὼς κάππεσ᾽ ἀπ᾽ εὐεργέος δίφρου‘ (Π 742). εἴρηται δὲ ἀπὸ τῶν ἀρνῶν, οἵτινες εἰώθασιν ἐπὶ κεφαλὴν ἅλλεσθαι ὥσπερ τὸν ἀέρα κυρίττοντες. [οὕτως Ἀπολλώνιος ὁ Ἀρχιβίου καὶ Διονύσιος ὁ Ἁλικαρνασσεύς. Μεθόδιος].

---

[3]) Alterius rhetoris doctrinam nusquam adhuc indagare potui. Proverbium autem (ap. Eust. 1353, 5. 1533, 34.) quod vulgo fertur, τετράδι γέγονας saepius adhibetur, cf. Zenob. II. 7., paullo aliter Phot. = Suid., denique Mill. Mél. p. 366. τ. γ. ταύτης μέμνηται Πλάτων ὁ κωμικὸς ἐν Πεισάνδρῳ (fr. 100. Kock). τετράδι γὰρ γεννηθεὶς καὶ πάντων ἐπιφανέστατος καὶ ἀνδρειότατος γενόμενος ἐταλαιπώρει, ὅμως ὑπ᾽ Εὐρυσθέως ἐπιταττόμενος, quae ad eundem Aristophanem referre nullus dubito. — cf. Fragm. lex. rhet. 378.

73. [1]) cf. Hes. cf. Ar. de mundo IV. 13.

[2]) cf. Hes. ἄρκυες. ἄρκυσι. Suid. s. v. ἄρκυς. B. A. 445, 22.

[3]) Et. M. 144, 6. 10. Mill. Mél. p. 43. cf. B. A. l. l.

[4]) Harp., cf. Suid. in priore glossae parte.

[5]) Hes. 3. — Et. M. 144, 17.

[6]) cf. Phot. Hes. ἡμερωρίας. ἡμερωρεῖν.

[7]) Quae omnia atticistis tribuenda sunt propter lexicographorum consensum. Idem lexicon rhet. iterum usurpatur apud Eustath. p. 1156, 17. ad quem locum iam noster provocare videtur: ἀλλαχοῦ καὶ ἕτερα γέγραπται sub finem adiciens, cf. fr. ἀπάρκιος (359).

73a. [1]) Hanc etymologi glossam (cf. Mill. Mél. p. 45.) A. Dionysii esse apparet ex subscriptione Codicis Vaticani, quem Milleri Florentino simillimum sed pleniorem esse et verba supra uncis inclusa continere R. Reitzensteinius benigne mecum per litteras communicavit.

[2]) Hanc explicationem solam (cf. Apollon. lex. hom. p. 43, 17. Bekk.)

74. Eustath. p. 1854, 34. *οὐκ ἂν δέ τις ἀπισχυρίσαιτο μὴ οὐκ εἶναι καὶ τὸν ἀρράβακα ἐθνικὸν, ὅς ἐστι κατὰ τοὺς παλαιοὺς ὀρχηστὴς ἢ βλάσφημος. Παυσανίας δὲ καὶ ἐτυμολογίαν αὐτοῦ παραδιδοὺς γίγνεσθαί φησιν ἀπὸ τοῦ ἀρραβάσσειν, ὅ ἐστιν ὀρχεῖσθαι* [1]).

75. Eustath. p. 913, 57. *Αἴλιος δὲ Διονύσιος λέγει καὶ ὅτι ἀρρενικὸν οὐχὶ ἀρσενικὸν τὸ τῶν γραφέων παρὰ Ἀττικοῖς φάρμακον* [1]).

76. Eustath. p. 1533, 58. *Αἴλιος δὲ Διονύσιος οἶσον* [1]) *φαίνεται λέγειν τὸ τοιοῦτον φυτὸν, γράψας, ὅτι ἀπὸ οἰσύου κόφινοι ἄρριχοι καλούμενοι, οὓς Ἴωνες μὲν ἀρσενικῶς προφέρουσιν, Ἀττικοὶ δὲ θηλυκῶς* [2]). *Παυσανίας δὲ ἱστορεῖ καὶ ὡς τούτοις τοῖς ἀρρίχοις σταφυλαὶ συνεκομίζοντο, ἐξ ὧν δοκεῖ γίνεσθαι καὶ τὸ ἀναρριχᾶσθαι* [3]).

ib. p. 1163, 49. *τάλαροι δὲ καλάθισκοι, τάλανες εἰς τὸ αἴρειν ως βασταχτικοί. λέγονται δὲ οἱ τοιοῦτοι καὶ ἄρριχοι παρ' Ἀτ-*

---

atticistae esse puto, cf. Eustath. p. 1083, 54. *ἔστι γὰρ ἀρνευτὴρ καὶ κυβιστητὴρ τὰ αὐτὰ, εἰ καὶ σαφέστερον ὁ κυβιστητήρ.* cf. Suid. Hes. — Iam antiquitus, quis fuerit *ἀρνευτήρ*, incertum fuisse apparet ex Schol. Ven. A. ad *M* 385 (= Eustath. p. 910, 34.).

74. [1]) Petita sunt ex celeberrimo illo loco, ubi Eust. de vocabulis peregrinis disserentem et priores compilantem vides, cf. Prol. p. 30. not. 1. Conv. cum utraque doctrina Hes. et B. A. 446, 26.

75. [1]) Tantum ap. Hes. s. v. *ἀρνικόν· χρώματος εἶδος χλωρὸν, ὅπερ ἡμεῖς ἀρσενικὸν λέγομεν* (cf. Schmidt. ad l. l.). Schwartz p. 33. *γναφέων* scribi iubet.

76. [1]) Cf. fr. *οἰσύη, οἶσον* et *ταρσός* (fr. 305.), unde apparet etiam ea quae de *ταρσοί* p. 1163, 49 disputantur, atticistarum esse. cf. Prol. p. 30.

[2]) Repetuntur B. A. 446, 30. Et. M. 149, 29. (Com. III. p. 634. Kock). cf. Et. Gud. p. 80. *ἄρριχοι δὲ λέγονται κόφινοι σύϊνοι* (l. *οἰσύινοι*) . . . . *ἀρσενικῶς.* — Pausaniae doctrina iterum apparet ap. Et. M. 99, 22. *ἄρριχος λέγεται ὁ κόφινος, ἐν ᾧ κομίζουσι τὰς βότρυς· ἐξ αὐτοῦ ἀρριχῶ καὶ ἀναρριχῶ,* quam ex Herodiano sumptam esse etymologus tradit. cf. Prol. p. 74. not. 2. — Similia ap. Suid. = Schol. Ar. Av. 1309. Moeris. s. v. = Harp. cod. k, cf. Bekk. ad p. 34, 14. Hes. B. A. 208, 25.

[3]) *ἀναρριχᾶσθαι* cf. Et. M. 99, 14. 26. cf. Schol. Ar. Pac. 70. — Contra atticistae regulam disputat Phryn. ap. B. A. 19, 25 . . . *οἱ δὲ δύο ρρ γράφοντες ἁμαρτάνουσιν.* — Atticista conspirat cum Herodiano, cf. Herod. II. 387, 5. 475, 27. ed. Lentz. (cf. eius notam de diversissimis vocis *ἄρριχος* scripturis), Greg. Cor. ed. Schäf. p. 585., ubi ex Porphyrio *ἀναρρίχησις* substantivum adfertur.

τικοῖς. Παυσανίας οὖν φησιν, ὅτι ἄρριχος κόφινος ἐπιτήδειος εἰς συγκομιδὴν σταφυλῶν.

77. Hellad. ap. Phot. Bibl. p. 532a 22. Bekk. *ὅτι τὸ ἀρχέτυπόν*[1]*, φασιν, οὐδενὶ τῶν ἀρχαίων συγγραφέων οὐδὲ ῥητόρων οὐδὲ τῶν Μούσαις κατόχων εἴρηται, ὡς Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἱστορεῖ.*

78. Eustath. p. 782, 52. *σημείωσαι δὲ ὅτι παροιμία φέρεται ἀπὸ τῆς νήσου Σκύρου τὸ „ἀρχὴ Σκυρία"*[1] *ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων, ἀπὸ Θησέως ληφθεῖσα, ὥς φησι Παυσανίας, ἐπειδὴ ἐπιθέμενος τῇ Λυκομήδους ἀρχῇ καὶ πειρῶν τὴν γυναῖκα ἐκείνου κατακρημνισθείη, [ὡς καὶ Λυκόφρων* (v. 1324) *φησί]. λέγει δὲ καὶ ὅτι ὀστρακισθῆναι πρῶτον Ἀθήνησι Θησέα ἱστορεῖ Θεόφραστος* (fr. 131. Wimm.)

79. Eustath. p. 1595, 37. *καὶ νόμων δὲ ἐπιμεληταὶ ἦσαν ἐν Ἀθήναις ἓξ τὸν ἀριθμὸν οἱ καὶ θεσμοθέται κυριεύοντές, φασι, τοῦ δικάζειν καὶ χειροτονεῖν. ἐκεῖ δὲ καὶ ἄρχοντες ἕτεροι ἕνδεκα ἐπιμελούμενοι τοῖς ἐν δεσμωτηρίῳ καὶ ἐνήγοντό, φασιν, ἐπὶ τὴν ἀρχὴν ταύτην κλέπται τε καὶ ἀνδραποδισταί. τῶν δὲ ῥηθέντων Ἀθήνησιν ἐννέα ἀρχόντων κατὰ Παυσανίαν τρεῖς μὲν ἦσαν, ἄρχων, πολέμαρχος, καὶ βασιλεύς· οἱ δὲ ἓξ θεσμοθέται*[1]*.*

---

77. [1]) cf. Hes. *ἀρχέτυπον. πρωτότυπον, ἀφ' οὗ πᾶσιν ὁ τύπος.* Suid. *ἀρχέτυπος. πρωτότυπον. καὶ ἀρχέτυπος. ὁ τὴν ἀρχὴν διδούς.* B. A. 449, 13. — Naber Prol. p. 186 etsi de Dionysio atticista vehementer dubitavit, tamen Helladii locum non omittendum esse existimavi.

78. [1]) Clariora profert Suid. s. v. *ἀρχὴ Σκυρία. ἐπὶ τῶν εὐτελῶν καὶ μηδὲν λυσιτελὲς ἐχόντων, παρόσον πετρώδης καὶ λυπρὰ καὶ διὰ τοῦτο πενιχρὰ ἡ Σκῦρος* (= Zenob. I. 32. Hes.) *οὐδὲν φέρουσα λόγον ἄξιον. οἱ δὲ ἀπὸ Θησέως, ὅτι κτλ.* = Eust. l. l. sed Lycophronis testimonio omisso et sub finem addito *Θεόφραστος ἐν τοῖς πρώτοις καιροῖς.* cf. Meier Opp. II. 91. Duas igitur explicationes Pausaniae praesto fuisse et seiunctim adhibitas esse vides, quae sola Eustathii socordia in unam conflata sunt. Utramque repetitam habes in cod. Pal. I. 1. ap. Crus. in Philol. nov. ser. I. p. 195. cf. p. 206. Lemma proverbii ap. Mill. Mél. p. 371. — Simile fuit proverbium *Σκυρία δίκη,* quod et ipsum de Thesei fuit exitio, cf. Hes. s. v. — An ad eandem originem reducenda sint Phot. Suid. s. v., Poll. VIII. 81. (cf. Meier-Schöm. Att. Proc. ed. Lipsius p. 908. not. 407.) dubium est.

79. [1]) Pausaniae doctrina, quae contra usum communem pugnat (nisi ordinem *ἀρχόντων* turbatum episcopo attribuere mavis), alibi *αὐτολεξεί* non

80. Eustath. p. 787, 8. ἰστέον δὲ ὅτι ἐν τοῖς τοῦ Παυσανίου φέρεται, ὡς τὴν δορὰν ἀσπάθητόν τινες εἶπον χλαῖναν[1]), ὅ ἐστιν ἀνύφαντον, καὶ ὅτι ἐκ τῆς λεοντῆς ἡ κατὰ τὸν λέοντα παροιμία τὸ ,ξυρεῖν λέοντα' ἐπὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων[2]) καὶ τοῦτο μὲν διὰ τὴν γενναιότητα τοῦ λέοντος, ὃν οὐκ ἂν ξυρεῖν τολμήσῃ τις. τὸ μέντοι „πόκους ὄνου"[3]) ἄλλον τρόπον ἀδύνατόν ἐστιν διὰ τὸ μὴ εἶναι πέκεσθαι τὸν ὄνον. ὅμοιον δέ πως καὶ τὸ „ἀσκὸν δέρειν"[4]). οὐ γὰρ ἂν ἐξ ἀσκοῦ ἕτερον δέρμα ἀποσυρήσεται.

Cram. Anecd. Par. III. 77, 34 (id est ad *K* 23, ut Eust.) δέρμα λέοντος· ἐπίθετος χιτών, ὡς ὁ Παυσανίας, διὰ τὸ ὑπεροχικὸν τῆς ἐκείνου μεγαλειότητος.

80a. Eustath. p. 1769, 45. ἰστέον δὲ, ὅτι τὸ πρῶτον οἱ παλαιοὶ, ὡς ἱστορεῖ Παυσανίας, τιμῶντες τὴν εὕρεσιν τοῦ

---

repetitur. Suid. s. v. ἄρχων atticistas adiisse propter consensum cum B. A. 449, 17. veri haud absimile videtur; certum tamen quicquam affirmare non ausim. — Ea, quae de ἕνδεκα iudicibus episcopus explanat, ad Pausaniam referenda esse confido, cum 1) de thesmothetis iam ita ante egerit, ut etiam superiore loco ex Paus. omnia delata esse appareat, 2) eadem doctrina apud Et. M. 338, 34 recurrat paullo fusior et voce ῥητορική sub finem addita, cf. Heyden. Leipz. Stud. VIII. p. 214. sqqu. cf. Phot. Suid. Schol. Ar. Vesp. 1108. B. A. 250, 4. 310, 15., ubi fere eisdem verbis Eustathiana repetita vides. cf. Poll. VIII. 102.

80. [1]) Conven. B. A. 453, 18. Hes. s. v. ἀσπάθητον χλαῖναν. Simil. Hes. ἀσπάθητα. Poll. VII. 36. cum Sophoclis testimonio.

[2]) Conv. Phot. Suid. λέοντα ξυρᾷς. Schol. Plat. Rep. 341. C. cf. Diogen. VI. 24.

[3]) Dubitanter ad Paus. referre ausim, cf. Nab. ad Phot. ὄνου πόκαι. Quod eadem explicatio bis ap. Phot. redit, alteram alteri, quam sibi finxit, Pausaniae recensioni Naber Prol. p. 45 tribuere studet. (sed cf. Prol. p. 9.) cf. Phot. Suid. ὄνου πόκαι· ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται ἡ παροιμία ὑπὸ τῶν Ἀττικῶν, ὥσπερ αἱ τοιαῦται πλίνθον πλύνειν, ἀσκὸν τίλλειν, χύτραν ποικίλλειν, εἰς κόπρον (Phot. κοπρῶνα) θυμιᾶν. † Ἀρίσταρχος δὲ (Ἀριστοφάνης Nab.) διὰ τὸν Κρατῖνον (fr. 348. Kock) ὑποθέσθαι ἐν Ἅιδου τινὰ σχοινίον πλέκοντα, ὄνον δὲ τὸ πλεκόμενον ἀπεσθίοντα, οἷον ἀποκείροντα, παρόσον οὖν τὰ ἐν Ἅιδου ἀνήνυτά εἰσιν, τοῦτο ἐπλάσθη. cf. Schol. Ar. Ran. 186. Zenob. V. 38. Hes. s. v. (cf. codd. V. B. Zenobii). — Eadem historia ap. Paus. X. 29, 1.

[4]) cf. Diogen. III. 3. cf. not. 2. ubi ἀσκὸν τίλλειν legis, quod nemo audivit. Fortasse ἀσκὸν ⟨δέρειν, ᾠὸν⟩ τίλλειν scribendum, cf. Diog. I. 3. B. A. 69, 26.

οἶνον ᾄδειν ἐφεῦρον καὶ τοὺς ἑαυτῶν κωμήτας κακολογεῖν, ὅθεν καὶ ἐρρέθη τὸ κωμῳδεῖν, ὅτε καὶ τὴν λυμαινομένην ταῖς ἀμπέλοις αἶγά, φησιν, ἆθλον τῆς ᾠδῆς προέθεντο. τοὺς δὲ ἀγωνισαμένους τραγῳδοὺς ἐκάλεσαν διὰ τὴν ἐπὶ τράγῳ δηλονότι τῷ ἀσκῷ, καὶ ἦν τοῦτο ἀσκωλιάζειν[1])· *τοὺς δὲ ὑστέρους, φησί, κριθέντας [ἤγουν τοὺς ἡττηθέντας] ἕτερον ἔδει τράγον ἐπὶ τὴν εἰρημένην χρείαν ἐκδεῖραι καὶ τὸν χορηγὸν αὖθις μισθοῦσθαι τοὺς ἐναλλομένους τῷ ἀσκῷ, τοὺς δὲ νικῶντας μηκέτι τοῦτο πράττειν [ἤγουν μὴ ἀναγκάζεσθαι εἰς τὸ ἐνάλλεσθαι], ἀλλὰ ἡσυχάζειν.*

81. Eustath. p. 84, 17. *Παυσανίας δὲ καὶ Αἴλιος Διονύσιος ἐν τοῖς οἰκείοις λεξικοῖς φασιν, ὅτι Μεγακλείδης* (ed. *Μετ.*) *αἰτίαν φησὶ τοῦ μὴ λέγεσθαι Ἀθηναίας τὰς Ἀττικὰς γυναῖκας, ἵνα μὴ τὴν ἄγαμον αἱ γαμούμεναι τῇ προσηγορίᾳ καταισχύνωσιν*[1]). *ὅτε δὲ ἤρξαντο αἱ ἀσταί, ἤτοι Ἀττικαί, γυναῖκες Ἀθηναῖαι λέγεσθαι, τότε δὴ ἐπενοήθη καὶ τὴν θεὸν μηκέτι Ἀθηναίην καλεῖσθαι ἀλλὰ κατὰ συναίρεσιν. ἕτεροι*[2]) *δὲ τῶν παλαιῶν φασι κτλ.*)

Quo cum loco coniungas: p. 1456, 44. *σημείωσαι ὡς οὐ μόνος Ὅμηρος Ἀθηναίαν λέγει τὴν Ἀθηνᾶν ἀλλὰ καὶ τῶν μετ' αὐτὸν πεζολόγων πολλοὶ Ἀττικοί, ὡς Δημοσθένης ἐν τῷ κατ'*

80a. [1]) Nondum simile quid indagare potui. Ac primum quidem de ascoliasmo cogitanti statim suspicio oriri debuit, ne vehementer errarem, cum omnes glossae cf. e. g. Et. M. 155, 35. (cf. Lorenz, Epich. p. 249) B. A. 452, 18. Hes. Suid. Schol. Ar. Plut. 1129. Plat. Conv. 190D. Luc. IV. p. 146. Jacob. cf. Mill. Mél. p. 436. Eust. 1646, 26. Poll. IX. 121. omnino cum nostris discrepent, cf. Cohn. Jahrbb. XII. 366.

81. [1]) Quos locos coniungendos esse inde apparet, quod eadem doctrina iisdem fere verbis apud Suid. s. v. *Ἀθηναίας* recurrit. — Verba illa *ὅτε δὲ ἤρξαντο κτλ.* Rindfl. p. 32 atticistis abiudicat; in contrarium autem disputandum est. Neque enim tum Suidae locus (quem Bergk. Poet. lyr. I[4]. 872 ex antiatticista quodam derivare studet) intellegi possit. Quem cum 1) saepius verbotenus cum atticistis convenire, 2) ad eundem Pherecratis locum provocare videas, affirmare non dubito, Suidam primo loco atticistarum scrinia expilasse. cf. Prol. p. 50. Alterius sententiae (*Ἀθηναίαν* = civem Atticam) fontem habes Ar. Byz. fr. Par. § 1. cf. Nauck. p. 79. 213. cf. Prol. l. l.

[2]) *ἕτεροι τῶν παλαιῶν* = Steph. Byz., ut Cohn, Jahrbb. XII. p. 294, probavit.

Ἀριστοκράτους (immo *Ἀνδροτίωνος* § 72). „*οἱ σύμμαχοι ἀριστεῖον τῇ Ἀθηναίᾳ* (Eust. *Ἀθηνᾷ*) [*ἀνέθεσαν*]". *καὶ Πλάτων Εὐθυδήμῳ* (302 D.) „*ἑρκεῖος Ζεὺς καὶ φράτριος καὶ Ἀθηναία φρατρία*". *φασὶ δὲ οἱ παλαιοί, ὡς ἐπειδὰν ἤρξαντο Ἀθηναῖαι γυναῖκες λέγεσθαι ἀντὶ ἀστῶν καὶ Ἀττικῶν, ὡς Φερεκράτης* (fr. 34. Kock)

Ἀθηναίαις αὐταῖς τε καὶ ταῖς ξυμμάχοις,

τότε ἤρξατο ἐκείνη λέγεσθαι τρισυλλάβως Ἀθηνᾶ. περὶ δὲ τούτου εἴρηται καὶ ἐν τῇ ᾱ τῆς Ἰλιάδος (i. e. 84, 17).

82. **Eustath.** p. 1573, 66. *ἰστέον δὲ ὅτι κατὰ τοὺς παλαιοὺς οὐ μόνον ἕτερον καὶ ἕτερα, ἀλλὰ καὶ μετὰ τοῦ θῆτα θάτερον*[1]) *καὶ θάτερα λέγεται τὸ τῶν οὐδετέρων πληθυντικὸν ἑνικόν. Χρύσιππος δὲ λέγων τὸν θάτερον τῶν Διοσκούρων ἐσχάτως βαρβαρίζει, ὥς φησι Παυσανίας· τὸ γὰρ ἀρσενικὸν κατὰ τὴν ὀρθὴν ἅτερος λέγεται κραθὲν ἀπὸ τοῦ ὁ ἕτερος. — ἔστι δὲ καὶ θατέρου γενικὴ ἑνική. καὶ θατέρῳ δοτικὴ τῶν ἑνικῶν οὐ θατέροις. σολοικισμὸς γὰρ τοῦτο κατὰ Παυσανίαν. ἐπὶ δὲ αἰτιατικῆς οὐ κιρνᾶται, τὰ δὲ θηλυκὰ οὕτω συναλείφεται ἡ 'τέρα καὶ θητέρᾳ οὔτε δὲ κατὰ γενικὴν οὔτε κατὰ αἰτιατικὴν κιρνᾶται.*

83. **Eustath.** p. 1157, 33. *ὁ αὐλὼν*[1]) *ἐπιμήκης αὐτὸς καὶ παραμήκης ποταμός. ὅθεν καὶ δίαυλος*[2]) *καὶ αὐλὸς*[3]) *κατὰ Παυσανίαν τὸ στάδιον. Αἰσχύλος δέ φησιν καὶ τὴν τάφρον αὐλωτοὺς*[4]) *διὰ τὸ κώδωνάς, φησι, προσῆφθαι αὐτοῖς, οἷς*

---

82. [1]) Convenit Phot. s. v. *θάτερος*. Eadem doctrina apud Gramm. post Ammonium Valckenaarii p. 195., qui Chrysippi verba Menandro tribuit. Anecd. Bachm. I. 254, 8. — Alteram doctrinam, et ipsam ab Eust. l. l. prolatam, consulto omisi, quod e Dorica dialecto formam pronominis derivare studet, cf. Eustath. 1385, 50. 1573, 35. Et. M. 443, 35 cum Gaisfordi notis. Et. Gud. 255, 12. Or. 74, 15. Mill. Mél. p. 155.

83. [1]) Ut Eustathii mos fuit, non unam glossam ex attic. lexicis delibavit, sed plures, quas coniunctas vidit, una in sua deportavit; ideo eum de *αὐλών, αὐλός, αὐλωτός* vocibus Pausaniam adiisse et locum Aeschyleum inde transtulisse confido.

[2]) Eust. et l. l. et p. 1107, 63. 1483, 53. *δίαυλος* = *αὐλός* esse dicit, sed ceteri lexicographi obloquuntur, cf. Suid. s. v. Et. M. 176, 26. 743, 17.

[3]) Et. M. l. l.

[4]) Hes. s. v.

ἐμφυσῶντες οἱ ἵπποι ὡς φωνὴν σάλπιγγος προΐεντο[5])· γράφει οὖν οὕτως

ὣς εἶχε πώλους τέτταρας ζυγηφόρους
φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας (fr. 326. Nauck.)

84. Eustath. p. 1350, 34. ὅτι δὲ τὰ ἔντεα δοκεῖ δασύνειν τὴν ἄρχουσαν παρὰ τοῖς παλαιοῖς, δηλοῖ καὶ ὁ αὐθέντης, οὐχ ὁ δεσπότης, ὥς φησιν Αἴλιος Διονύσιος, ἀλλ' αὐτοέντης καὶ αὐτοχειρίᾳ φονεὺς, ὁ καὶ αὐτοφόντης[1]).

85. Eustath. p. 1332, 12[1]). Παυσανίας δέ φησιν ὅτι αὐτοχόωνος[2]) ὁ ἐξ αὐτοῦ τοῦ χώνου ἄλλην μηδεμίαν προσειληφὼς ἐπισκευήν. καὶ οὕτω μὲν ἐνταῦθα ἡ αὐτὸς ἀντωνομία σύγκειται. ἡ δέ γε αὐτόχθων ἑστία[3]) ἡ τοῦ Χείρωνος ἀλλοίαν ἔχει τὴν σύνθεσιν· δηλοῖ γὰρ τὴν αὐτοφυῆ καὶ σπηλαιώδη, ἣν ἕτερός τις αὐτόροφον. ὁ δὲ βασιλεῖ ἐλθὼν αὐτόματος ἀδελφὸς εἰς δαῖτα ὁμοιότητα ἔχει ἄλλως πρὸς τὸν ἐφεξῆς που ῥηθησόμενον αὐθέντην, ὅ ἐστιν αὐτοφόντην[4]). οἱ αὐτερέται[5]) δὲ ἄλλο τι δηλοῦσιν, ὅτι δηλαδὴ οἱ αὐτοὶ

---

[5]) Hes. s. v. conv.

84. [1]) Conv. B. A. 463, 4, unde Meier Op. II. p. 69 recte effecit verba οὐχ ὁ δεσπότης post Dionysii nomen collocanda esse. Brevius αὐθέντης ὁ αὐτόχειρ dicitur Eust. 82, 41. 641, 48. 882, 61. 945, 12 et 524, 17, unde ex παλαιοῖς ὑπομνήμασιν hanc doctrinam ab Heracleone grammatico (a Didymo ipso adhibito) petitam esse discimus. Cf. Hes. s. v. αὐθέντης, αὐτοέντης. Et. M. 169, 2. Gud. 92, 51. 550, 51. Schol. Apoll. Rhod. II. 754. Schol. Thuc. III. 58. Eandem doctrinam atque atticistae apud Phryn. Lob. p. 120. Similem doctrinam profert Harp. locis quibusdam Lysianis exornatam, unde sua Suidas petivit, sed paullo auctiora et Isocratis exemplo illustrata. Sub finem eandem etymologiam ineptam ἀπὸ τῶν ἐντῶν profert atque Et. M. Gud. Cui alteram non meliorem substituit Phryn. in B. A. 15, 9, cum ab εἶναι infinitivo αὐθέντης vocem derivare conetur.

85. [1]) Quas voces omnes ex Pausania fluxisse iam inde apparet, quod de αὐθέντης voce eadem profert atque Ael. Dion. fr. 84. Non igitur Meiero assentiemur, qui αὐτοχόωνος tantum ab Pausania explicatum esse statuit. Voces tali modo coniunctas episcopum excerpsisse saepissime videre licet. An Rindfl. p. 51. iure contenderit, eas omnes sub lemmate αὐτὸς a Pausania adlatas esse, dubium est.

[2]) Similia Hes.

[3]) cf. Hes. et Et. M. 174, 41.

[4]) cf. fr. 84.

[5]) Conv. Suid. B. A. 464, 23. cf. Hes.

ἐρέται εἰσὶν καὶ ὁπλῖται. ὅμοιον δὲ πρὸς τὸ αὐτοχόωνον τὸ αὐτοκάβδαλον[6]) καὶ τὸ παρὰ Σοφοκλεῖ αὐτόξυλον[7]) ἔκπωμα καὶ ὅλως ὅσα ἔργα οὐκ εἰς κάλλος εἴργασται.

86. Eustath. p. 1039, 36[1]). ἄφλαστον[2]) δέ, φασιν, οὐχὶ τὸ ἀκροστόλιον, διαφέρουσι γὰρ αἱ λέξεις, ἀλλὰ κατὰ Δίδυμον, ὥς φησι Παυσανίας, τὸ ἐπὶ πρύμνης ἀνατεταμένον εἰς ὕψος ἐκ κανόνων πλατέων ἐπικεκαμμένων, διήκοντος δι' αὐτῶν πλατέος κανονίου, ὑπηρεισμένου τούτῳ στυλίσκου, ὄπισθεν τοῦ κυβερνήτου. κρεμάννυται δ' ἐκ τῶν κανονίων καὶ τοῦ θρανίου ταινία[3]) εἰς παράσημον δηλαδὴ τῆς νηός. [καὶ τοιοῦτον μὲν τὸ ἄφλαστον ἐτυμολογούμενον ἀπὸ τῶν μὴ ῥᾳδίως φλᾶσθαι ἤγουν θλᾶσθαι κατὰ διάλεκτον Ἀττικήν, ὡς δηλοῦται καὶ παρὰ τῷ κωμικῷ]. Ἀκροστόλιον[4]) δέ, φασι, τὸ ἀπὸ τῆς πτυχῆς ἀνατεῖνον ξύλον ἐπὶ τὴν πρῷραν, περὶ οὗ καὶ αὐτοῦ φησιν ὁ Δίδυμος, ὅτι τὸ λεγόμενον ἀκροστόλιόν ἐστιν ἄκρος στόλος. στόλος δέ ἐστι τὸ ἀπὸ τῆς λεγομένης πτυχῆς ξύλον πλατύ. πτυχὴ δέ ἐστιν ὅπου οἵ τε ὀφθαλμοὶ ζωγραφοῦνται καὶ τὸ τῆς νεὼς ὄνομα ἐπιγράφεται. ἕτεροι δὲ καὶ τὸ στενὸν καὶ εἰς ὀξὺ λῆγον στόλον φασίν.

87. Eustath. p. 396, 1[1]). σημείωσαι δὲ ὅτι τὸν μὲν μέγιστον τέττιγα ἀχέταν[2]) καλοῦσιν οἱ παλαιοὶ κατὰ Παυσα-

---

6) cf. 884, 26 et Prol. Cap. III. cf. B. A. 464, 27. Et. M. 174, 64. Eupol. fr. 200 Kock.

7) Hes. cf. Soph. Philoctet. 35.

86. 1) Tota doctrina recurrit in schol. Ven. B. *O*, 717, sed auctorum nominibus omissis. Ideo etiam ἀκροστόλιον, στόλος, πτυχή glossae eidem fonti, i. e. Pausaniae, attribuendae sunt.

2) ἄφλαστον cf. Suid. Hes. 4171, 19. B. A. Lex. Herod. (II. p. 403, 30 Stein)., unde discimus Apollodori doctrinam a Pausania reiectam esse. Apollodori doctrina redit ap. Et. M. 177, 41., ubi etymologia, quam damnavi, recurrit. (cf. Apollon. lex. hom. 49, 6. Bekk. Schol. Ven. A. ad l. l. Tzetz. ad Lycophr. 26).

3) Verba Eustathii recte se habere videntur; ταινία retinendum (non τὰ ἡνία, ut Meier ex Schol. Ven. B. efficere studuit), cf. Poll. I. 90.

4) cf. Suid. Schol. Apollon. Rhod. I. 1089. et Prol. p. 62. sq., et de vocibus στόλος, πτυχή cf. Poll. I. 86.

87. 1) Quos locos ideo contexui, ut utrumque atticistam saepe eadem de eadem voce protulisse cognoscatur cf. Prol. p. 4.

2) Hes. s. v. ἀχέτης, ἀχέτας. Doctrina fuit Aristophanis Byz. (cf. Mill. Mél. p. 431), qui sua ex ipso hausit Aristotele Hist. Anim. V. 30

νίαν, κερκώπην[3]) δὲ τὸ ἐλάχιστον τεττίγιον· τὸ δ' αὐτὸ καὶ καλαμαῖον[4]), τὸ δὲ μετὰ τοῦτο τιτιγόνιον[5]), ἴσως παρὰ τὸ τιτίζειν, περὶ οὗ προδεδήλωται. Quo cum loco contexendus ib. p. 229, 15. σημείωσαι δὲ ὅτι ἐκ τοῦ τιτίζειν τίτις[6]) κατὰ Αἴλιον Διονύσιον βραχὺ ὀρνίθιον ἢ καὶ πᾶν φησι μικρὸν ὀρνίθιον οὕτω καλεῖται. ἕτερος δέ τίς φησι (i. e. Pausan.) ὅτι κατὰ μίμησιν ἤτοι ὀνοματοποιίαν, ὅθεν ἴσως καὶ τιτιγόνιον ζωΰφιον παρὰ τῷ αὐτῷ ὅμοιον τέττιγι. cf. p. 1481, 51. ὅτι δὲ χαίρουσιν οἱ Δωριεῖς τῇ τοῦ η εἰς ᾱ μεταποιήσει δῆλον μὲν καὶ ἐξ ἄλλων. οὐ μὴν δὲ ἀλλὰ καὶ ἐκ τῶν Αἰλίου Διονυσίου, ὃς ἀχέτην[7]) ἐκτίθησι τὸν ἠχητικὸν τέττιγα καὶ κάλην[8]) τὴν κήλην καὶ καλήτην φησίν, οὐχὶ κηλήτην.

88. Eustath. p. 1698, 30. σημείωσαι δὲ καὶ ὅτι ὥσπερ ἀσφοδελὸς ὀξυτόνως κατά τινας περιεκτικῶς ἐρρέθη, οὕτω καὶ ἀχυρὸς κατὰ Αἴλιον Διονύσιον ὁ ἀχυροβολὼν[1]). ἕτερος δέ τις καὶ χρῆσιν εἰς τοῦτό φησιν·

Ἑκάβην ὀτοτύζουσαν καὶ καιόμενον τὸν ἀχυρόν.

(cf. IV. 7. et Ael. Hist. An. X. 44) καλοῦσι δέ τινες τοὺς μὲν μεγάλους καὶ ᾄδοντας ἀχέτας, τοὺς δὲ μικροὺς τεττιγόνια.

[3]) cf. Athen. IV. 133 B. ἔστι δὲ ἡ κερκώπη ζῷον ὅμοιον τέττιγι καὶ τιγονίῳ (sic! — Eust. p. 1282, 40, qui locum exscribit, τριγονίῳ praebet, unde corruptelam veterem Athenaeo subesse suspicor, quae τιτιγονίῳ voce sanatur). Pausaniae doctrina redit ap. Hes. κερκώπη· μικρὸν τεττίγιον, τὸ καλαμαῖον καλούμενον. τρία εἶναι γὰρ γένη τεττίγων φασίν. οἱ δὲ τέττιξ θήλεια μὴ φωνοῦσα, cf. Schol. Ar. Av. 1095. Iterum Pausaniam habes ap. Phot. s. v.

[4]) vid. lex. rhet. καλαμαῖαν (fr. 401.) cf. Hes. s. v. κερκώπη· καλαμίς.

[5]) Veterrima iam fuit corruptela τιγόνιον, cf. Prol. p. 34. Atque vocem τιγόνιον iam habes ap. Phot. Hes. post τιγγάβαρι illatam. — Phot. Et. M. 760, 47 et τιτιγόνιον· ὅμοιον τέττιγι. Ἐπίλυκος Κοραλίσκῳ (fr. 4 Kock). ex Pausania petitum cf. Nab. l. l.

[6]) cf. Phot.

[7]) cf. Phryn. ap. B. A. 47, 20.

[8]) cf. Hes. ἠχέτης, ἠχηταί.

88. [1]) Cum Aelii Dion. doctrina concinit Herod. II. 860, 18. Lentz. τὸ ἀχυρὸς ὁ ἀχυρὼν παρὰ Ἀττικοῖς ὀξύνεται ὡς περιεκτικόν. cf. I. 200, 12. Similia B. A. 7, 21 ἀχυρὸς, ὡς πονηρὸς λυπηρός. σημαίνει δὲ τὸν ὑπὸ τῶν ἀμαθῶν ἀχυρῶνα καλούμενον. Ἀττικὸν δὲ λίαν ὁ ἀχυρός· καὶ ἡ παροιμία ὄνος (B. οἶνος, Mein. Men. 428 correxit) εἰς ἀχυρόν. εὕρηται δὲ καὶ προπαροξυνόμενον ὡς ἄλυτος. Proverbium iteratur ap. Diog. VI. 91. G. C. M. IV. 61. Singularia ap. Schol. Ar. Vesp. 1310. παρὰ

89. Eustath. p. 574, 28. ὅτι δὲ καὶ ἐπὶ τροχοῦ ἡ ἀψὶς[1]) δῆλον. φησὶ γοῦν καὶ Παυσανίας, ὅτι ἀψίς· ξύλινος κύκλος τροχοῦ, τὸ δ' ἐπ' αὐτοῦ σιδηροῦν ἐπίσωτρον[2]). Ὅμηρος δὲ τὸν μὲν τροχὸν ὅλον κύκλον ὀνομάζει, τὴν δὲ ἀψῖδα ἴτυν.

B.

90. Eustath. p. 1404[1]) de βάλλειν verbo eiusque compositis disputans haec inserit: καὶ βαλβῖδες[2]) οὐ μόνον αἱ ἐπὶ ἐφέσεως (l. ἀφέσεως) δρομέων γραμμαὶ κατὰ Αἴλιον Διονύσιον ἀλλὰ καὶ ὅσα ἐν φρέασι καὶ ἄλλοις τοιούτοις ἐγκοπαί, φησι, καὶ ἐξοχαί, δι' ὧν κατίασιν εἰς αὐτά, αἷς βαλβῖσιν ὅμοιόν

τὴν παροιμίαν ὄνος εἰς ἀχυρῶνα ἀπέδρα. ὁ δὲ ἀχυρὸς παρ' Εὐπόλιδι ἐν Χρυσῷ γένει (fr. 299. Kock) ὅπου καὶ τὸ Πλάτωνος παράκειται ἐξ Ἀδώνιδος (fr. 6. Kock). — Χρῆσιν supra laudatam comici esse perspicuum est. Apud Kockium desideratur. Hes. ἄχυρος praebet.

89. [1]) Conv. B. A. 475, 27. Simila Hes. s. v. cf. Suid. et Et. M. 183, 33. Rindfl. ἄψίς scribit, iniuria, cum Eust. ἀψίς praebeat et schol. Ven. B. ad l. l. (*E* 487) doceat: ἀψῖδες ψιλωτέον. Herodianum aliter sensisse saepissime videmus, cf. indicem Lentzii.

[2]) cf. Eustath. 1313, 27. ἐπίσωτρα δὲ ὅτι τε οἱ κανθοὶ τῶν τροχῶν et 1214, 7. 589, 10. Coniuncta vocabula profert Poll. X. 53. Simillime explicat Schol. Hom. *E.* 725. Et. Gud. 623, 49. ἐπίσωτρα τὰ κύκλῳ τῶν τοῦ ἅρματος σιδήρια. Anecd. Bachm. I. 232, 6. Suid. Hes. Et. M. 364, 32. καὶ πλεονασμῷ τοῦ σ ἐπίσσωτρα τὰ ἐπικείμενα τοῖς τροχοῖς σιδήρια, ἐπὶ τὴν γῆν σοούμενα. Ex ultimis iam etymologiam agnosco, quae vocem a σῶ verbo derivans recurrit ap. Eust. 598, 34. Et. Gud. l. l. Et. Orion. 51, 12. 59, 24.

90. [1]) Subsequitur fragmentum Aristophanis Byzantii de πρωτόβολος et γνώμων vocibus agens cf. Nauck. p. 99. sqq.

[2]) cf. Hes. βαλβίς· ἀφετηρία. καὶ ἡ ἄφεσις τῶν ἵππων καὶ ἡ θύρα τοῦ ἱππικοῦ. ἔνιοι δὲ καμπτῆρα. καὶ παρὰ Ἱπποκράτει τὸ ἔχον ἑκατέρωθεν ἐπαναστάσεις. ἔστι δὲ καὶ βαθμὸς καὶ ἔρεισμα (cf. Erot. p. 13, 12. Klein. Galen. gloss. Hippocr. vol. XIX. p. 87. Kühn). Similia habes Et. M. βαλβῖσιν· ἀντὶ τοῦ ἀρχαῖς. εἴρηται δὲ ἀπὸ τῶν δρομέων. ἡ γὰρ ὑπὸ ὕσπληγγος γενομένη γραμμὴ διὰ τὸ ἐπ' αὐτῆς βεβηκέναι τοὺς δρομέας βαλβὶς καλεῖται καὶ ὁ τῆς ἀφετηρίας τόπος. ἔνιοι καμπτῆρα. ἐκ τοῦ ῥητορικοῦ λεξικοῦ. Qua cum glossa concinit Harp. Antiphontis testimonio addito. Moer. s. v. βαλβῖδες. Tertia explicatio ap. Schol. Ar. Eq. 1159. Prima scholii explicatio plane cum A. D. concinit. Suid. scholion repetit. cf. Anecd. Bachm. I. 178, 17. Altera explicatio a nostra plane diversa est ap. Et. M. 186, 14. (= Et. Gud. 102, 37), quae ap. B. A. 220, 31. repetitur. Schol. Ar. l. l. altero loco recurrit, cf. Lycophr. 13.

τι κατὰ ἔννοιαν καὶ ὁ βατὴρ[3]) ὅς ἦν ἀρχή, φησι, τοῦ τῶν πεντάθλων σκάμματος. ὅθεν καὶ παροιμία·

αὐτὸν κέκρουκας τὸν βατῆρα τοῦ λόγου[4])

ὡς οἷον εἰπεῖν τὸ πρῶτον καὶ ἐπικαιρότερον.

91. Eustath. p. 1425, 39[1]). ἰστέον δὲ ὅτι τοῦ βασιλεὺς τὸ θηλυκὸν οὐ μόνον βασίλεια ὡς ἱερεὺς ἱέρεια ἀλλὰ καὶ βασίλισσα κατὰ Αἴλιον Διονύσιον Ἀττικῶς. βασίλινναν[2]) δέ, φησι, Μένανδρος (fr. 907. Kock) λέγει. ἐλέγοντο δὲ ὑποδήματά τινα βασιλίδες[3]) καί τι μύρου εἶδος ἑπταβασίλειον[4]) καὶ βασιλίνδα[5]), παιδιά τις βασιλέας τινὰς ἀποδεικνύουσα καὶ βασιλειᾶν[6]) καὶ διαβασιλίζεσθαι[7]) τὸ βασιλείας ἀντιποιεῖσθαι. ἦν δέ, φασι, καὶ βασιλεὺς ἀρχή τις Ἀθήνησι καὶ ἡ ἐκείνου βασιλὶς[8]) καὶ βασίλειος ἐκεῖ στοά[9]), πλησίον τῆς τοῦ ἐλευθερίου Διὸς στοᾶς.

---

[3]) cf. B. A. 224, 12. unde Seleuco explicationem deberi apertum est (= Hesych.). Utraque glossa non ex Aelio ipso fluxit, sed ex eodem fonte atque illius glossa petita est, cf. Poll. II. 200.

[4]) Proverbium cum glossa βατήρ coniunctum habes in Et. M. 192, 4 βατήρ· ἡ ἀρχὴ τῶν τοῦ πεντάθλου σκαμμάτων.

αὐτὸν κέκρουκας τὸν βατῆρα τοῦ λόγου

φησί τις, οἷον τὸ ἐπικαιρώτατον καὶ τὸ πρῶτον. ῥητορικὴ δέ ἐστιν ἡ λέξις (cod. ῥηματική. corr. Heyden. p. 206), idem Suid. Zon. p. 371. cf. Kock. Com. III. p. 755. — Proverbium solum paullo immutatum ap. Poll. l. l. cf. Suid. s. v. Diogen. III. 38.

91. [1]) Quae omnia atticistis deberi ex voce διαβασιλίζεσθαι efficio, cuius explicatio saepius eadem redit cf. not. 7.

[2]) Contra disputat Phryn. Lob. p. 225. et Phryn. ap. B. A. 84, 26. Falso, cum ad Menandri testimonium ipse alia optimae notae afferat, Alcaei (fr. 6. Kock) et Aristotelis (Fragm. ed. V. Rose p. 137). Cum Phrynicho facit Moeris p. 192, 27. Bekk. βασίλισσα (= regina) ap. Athen. XIII. 586 C ex Philemonis Babylonio (fr. 16. Kock) cf. ib. 595 C. — Eustath. p. 1514, 33.

[3]) cf. Hes. Poll. VII. 85.

[4]) An vox recte se habeat, dubium est. Hes. βασίλειον praebet.

[5]) cf. Hes. Poll. IX. 110, Cohn, Jahrbb. XII. 370.

[6]) cf. Hes. βασιλειῶντα.

[7]) conv. Suid. Et. M. 266, 14. B. A. 241, 24.

[8]) Huc referenda puto Et. M. 189, 7. βασιλίς· ἡ τοῦ βασιλέως γυνὴ ὡς καὶ βαλανὶς ἡ τοῦ βαλανέως. ῥητορική. cf. Suid. Lex. Bachm. 179, 5. cf. Heyden. p. 255.

[9]) Quae recte se habere cognosces ex Harp. s. v. Confusa ap. B.

92. Eustath. p. 1721, 26 [1]. ἰστέον δὲ ὅτι μάλιστα τὸ βὴ φωνῆς σημαντικὸν, καὶ φέρεται παρὰ Αἰλίῳ Διονυσίῳ καὶ χρῆσις Κρατίνου τοιαύτη. (e Dionysalexandro fr. 43. Kock) [2].

ὁ δ' ἠλίθιος ὥσπερ πρόβατον βὴ βὴ λέγων βαδίζει

Quibuscum contexenda sunt p. 768, 13. καὶ ὅτι παραβλὼψ μὲν ἐκτείνει τὴν λήγουσαν ὡς σύνθετον ἐκ τοῦ ὠπὸς, βλὸψ μέντοι τὸ μονοσύλλαβον συνέσταλται. ὅπερ ἐστὶν ὁ τῆς κλεψύδρας ἦχος μιμητικῶς, κατὰ τοὺς παλαιούς, ὥσπερ, φασὶ, καὶ κὺξ ἐπὶ τῆς ψήφου κατὰ μίμησιν καὶ αὐτό. καὶ οἱ αὐτοί φασιν ὁμοίως μιμητικῶς καὶ βὴ, οὐ μὲν βαὶ μίμησιν προβάτου φωνῆς. Κρατῖνος· ὁ δ' ἠλίθιος κτλ.

93. Eustath. p. 880, 30. ἡ δὲ κολώνη [1]) καὶ λόφος ἂν λέγοιτο καὶ βουνὸς [2]) δὲ, ὅπερ Ἡρόδοτος (IV. 199) μὲν Λιβύων λέξιν εἶναί φησιν. Αἴλιος δὲ Διονύσιος λέγει, ὅτι Φιλήμων ἐπισκώπτει τὸ ὄνομα ὡς βάρβαρον, λόφον γὰρ καλοῦσιν. ἕτεροι δὲ [3]), ὅτι βουνὸν Φιλήμων ἐν Νόθῳ (fr. 49. Kock) ὡς σύνηθες τίθησιν, ἄλλοτε δὲ ὡς ξενικὸν ἐπισκώπτει.

94. Eustath. p. 1165, 4. ἰστέον δὲ πολυμαθείας χάριν καὶ ὅτι βοῦς [1]) παρὰ τοῖς παλαιοῖς ἐλέγετο καί τι πέμματος

A. p. 222, 29. Hes. Una fuit στοὰ βασίλειος cf. Paus. I. 3, 1. 14, 6. Meier et Schöm. Att. Proc. p. 62. n. 59.

92. [1]) Ex altero igitur loco Eustathium ex more collegisse, quae ad propositum quadrent, intellegitur, cf. not. ad. fr. 337.

[2]) Conv. Suid. Et. M. p. 196, 7, cuius cod. Flor. sub finem ῥητορικὴ δέ ἐστιν ἡ λέξις adicit. Alia ap. Hes. s. v. βηβήν. B. A. 86, 3. — βῆ (ut quidem Suid. Et. M. l. l. praebent) circumflectendum esse contendit Eust. p. 592, 18. Et. M. 78, 40.

93. [1]) Conv. Hes.

[2]) Herodoti testimonium ex atticistis depromptum esse locus celeberrimus de vocibus peregrinis Eust. p. 1854, 21. docet, cf. Prol. p. 30.

[3]) Eadem docet Phryn. Lob. 355. sed ordine inverso. — Herodian. π. μον. λέξ. (II. 940, 4. Lentz.) βουνὸς vocabulum iam ut omnibus notum et usitatum in exemplum vocat.

94. Tota Pausaniae doctrina repetita ap. Suid. s. v. ἀνάστατοι, cf. Prol. p. 8. 63.

[1]) βοῦς vel βοῦς ἕβδομος repetita ap. Hes. s. v. βοῦς, ἕβδομος βοῦς, βοῦς ζ' (ubi antiquissimum fontem Clitodemi Ἀτθίδα habes, cuius doctrina per tot discrimina usque ad Hes. pervenit). Suid. s. v. βοῦς ἕβδομος gl. 2. testimoniis ex Euthyclis Atalanta (fr. 2.) Euripidis Erechtheo (fr. 352. Nauck.) Achaei Iride (fr. 23. Nauck.) petitis ornata est, cf. Suid. s. v. ἀνάστατοι, Phot. s. v. σελήνη.

εἶδος, ἀφ' οὗ παροιμία τὸ „βοῦς ἕβδομος"[2]) ἔχουσα λόγον τοιόνδε· σελῆναι[3]) πέμματα ἦσαν πλατέα κυκλοτερῆ, ἐπὶ δὲ ἓξ σελήναις τοιαύταις βοῦν, φασιν, ἕβδομον ἔπεττον, κέρατα ἔχοντα κατὰ μίμησιν πρωτοφυοῦς (l. πρωτοφαοῦς) σελήνης. ἔθυον μὲν οὖν καὶ ἐπὶ τέσσαρσι ποπάνοις τοῦτον τὸν βοῦν, μᾶλλον μέντοι ἐπὶ ταῖς ἓξ ἔθυον αὐτόν, ὃς καὶ ἐκαλεῖτο διὰ τοῦτο ἕβδομος βοῦς· ὁ δὲ ταῦτα ἱστορήσας Παυσανίας λέγει καὶ ὅτι αἱ ῥηθεῖσαι σελῆναι [τὰ πέμματα] καὶ πέλανοι[4]) ἐλέγοντο καὶ ὅτι πεμμάτων εἶδος καὶ οἱ ἀνάστατοι[5]) πλακοῦντες καὶ οἱ χαρίσιοι[6]) καὶ οἱ ἀμφιφῶντες[7]) καὶ φθόϊς[8]) δέ, φασι, πέμματα μετὰ σπλάγχνων ἐσθιόμενα. (Meier θυόμενα).

94a. Eustath. p. 962, 17. ἐπιτυχὴς δὲ μάλιστα ἐν τοῖς ἑρμηνεῦσιν ὁ μεταλαβὼν τὸν βουγάϊον εἰς βόσκημα ἀναίσθητον[1]). ὅτι δὲ καὶ εἰς ἀναισθησίας σκῶμμα λαμβάνεται ὁ βοῦς,

---

[2]) Proverbium *βοῦς ἕβδομος· ἐπὶ τῶν ἀναισθήτων*, quod ex alia Pausaniae glossa Eustath. ex more huic loco innexuit, ap. Suid. gl. 1. Diogen. III. 50. Mac. II. 89. Mill. Mél. p. 357. (cf. not. 8.)

[3]) conv. Phot. s. v. *σελήνας, σελήνη*. Steph. Byz. s. v. Hes. s. v. *σελήνας, ἐπισέληνα*, Suid. s. v. *σελῆναι*.

[4]) cf. Harp., qui Didymum (p. 40. Schmidt) auctorem laudat: *Δίδυμος δὲ κυρίως φησὶ τὸ ἐκ τῆς παιπάλης πέμμα, ἐξ οὗ ποιοῦνται πέμματα*. (cf. Prol. p. 63.) Quae doctrina redit ap. Phot. Suid. (in utraque glossa Dionysius Thrax laudatus, quod corruptum est. Comici testimonium subesse suspicor.) Tim. lex. Plat. s. v. Eustath. p. 1601, 4. Vocem 1) placentam 2) spumam 3) *μισθὸν τῷ μάντει διδόμενον* significasse testantur Phot. Suid. Prima et altera explicatio ap. Anecd. Bachm. I. 335, 20 ubi *ὀπῶδες* pro *ποῶδες* restituo. Tertia vis vocabuli ap. Hes. s. v. *πεδανός*, cf. Nab. Prol. 66. 126.

[5]) *ἀνάστατοι* cf. Suid. Hes.

[6]) cf. Athen. XIV. 646. B. Suid. s. v. *ἀνάστατοι, χαρίσιοι* (ubique testimonio ex Daetalensibus Aristophanea ornati, cf. fr. 202. Kock) Hes.

[7]) cf. fr. 51.

[8]) cf. Eustath. p. 1753, 3. Phot. Suid. Anecd. Bachm. I. p. 405, 21. Moer. p. 212, 1. Bekk. Hes. Graesse, Numism. p. 24. Boeckh. C. I. G. I. p. 145. sqqu. De forma vocis vide Herodian. Lentz. I. 400, 25. II. 40, 26. 313, 17. — Ex Hes. s. v. corruptum illud *σμῆγμα* ap. Mill. Mél. p. 357. in *ψῆγμα* correxerim, non *πέμμα*, ut Miller ex Macar. II. 89 efficere studuit.

94a. [1]) cf. fr. 98.

[2]) nusquam iteratur.

δηλοῖ καὶ ο παρὰ Μενάνδρῳ (fr. 1002. Kock) βοΐδης[2])· ὅ ἐστι πρᾶος, εὐήθης, καθ' ὁμοιότητα τῶν ἀμνοκῶν, ὅ ἐστι νοῶν ὡς ἀμνὸς κατὰ τὸν κωμικόν. παροιμιάζεται δὲ ὁ βοῦς, καὶ ὥσπερ ἐπὶ βουγλώσσων, ἐν τῷ „βοῦν ἐπὶ γλώσσης φέρεις"[3]), οὕτω κατὰ Παυσανίαν, καὶ ἐπὶ ἀχρηστίας ἐν τῷ „βοῦς ἐν αὐλείῳ κάθηται"[4]).

95. Eustath. p. 1395, 48. ὀβρίκαλα παρὰ Αἰσχύλῳ λεόντων σκυμνία [τὰ δηλαδὴ καὶ ὄβριμα καὶ καλά]. ἕτεροι δέ[1]) φασιν, ὅτι τε ὄβρια καὶ ὀβρίκαλα λεόντων καὶ λύκων σκυμνία, καὶ ὅτι βρίκελοι διὰ διχρόνου τὰ μορμολύκεια. Παυσανίας[2]) μέντοι περὶ τούτου φησὶν, ὅτι βρίκελα (l. βρίκελοι) προσωπεῖα βροτῷ ἴκελα, ἢ βριξὶν[3]) ἴκελα. οὕτω δέ, φησιν, ἔλεγον τοὺς βαρβάρους. ὁ δ' αὐτὸς καὶ βριμοῦσθαι λέγει τὸ μετά τινος ἀπειλῆς ἐκφοβεῖν. καὶ Αἴλιος δὲ Διονύσιος βριμοῦταί φησιν ἀντὶ τοῦ ἀπειλεῖ[4]).

96. Eustath. p. 919, 35. καὶ ὅτι βρόμος κυρίως ἐπὶ ἀνέμου καὶ ἐπὶ πυρὸς, ἐφ' ὧν καὶ τὸ βρέμειν[1]). Παυσανίας

---

3) Cum Pausaniae fragmentum omni explicatione destitutum sit, vix habemus, cui veterum sententiae nostra adnectamus. Duae enim opiniones praeferuntur: ap. Zenob. I, 51., qui docet παροιμία· ἐπὶ τῶν μὴ δυναμένων παρρησιάζεσθαι· ἤτοι διὰ τὸ ἄφωνον τοῦ ζώου, ἢ διὰ τὸ τῶν Ἀθηναίων τὸ νόμισμα ἔχειν βοῦν ἐγκεχαραγμένον. ὅπερ ἐκτίνειν ἔδει τοὺς πέρα τοῦ δέοντος παρρησιαζομένους cf. Suid. Hes. Altera opinio ap. Poll. IX. 61. cf. Diogen. III. 48. Eustath. p. 252, 25. Schol. Aesch. Ag. 36. et Weckl. ad l. l. Leutsch. ad Apostol. V. 7. Schol. Φ, 79. Et. M. 320, 50. Schol. Ar. Av. 1106.

4) cf. Hes. qui Cratini locum addit. Suid. Diogen. III. 70. App. Prov. I. 63.

95. 1) Aristophanis Byzantii sunt, cf. Ael. Nat. hist. VII. 47. Nauck. Ar. Byz. p. 112. 125. Mill. Mél. p. 431. Phot. Hes. Apposui, ut altera vocis significatio, aliunde nondum comperta, appareat.

2) cf. Hes. βρίκελοι οἱ μὲν τοὺς ἱστοπόδας ἀπὸ τοῦ βάρους καὶ τοῦ ξύλου. οἱ δὲ τοὺς βαρβάρους. Δίδυμος (p. 29. Schmidt) δὲ τὰ τραγικὰ (?) πρόσωπα παρὰ Κρατίνῳ ἐν Σεριφίοις οἷον βροτῷ εἴκελοι. Ex Et. m. 213, 39. Schmidtius recte βαρβαρικὰ πρόσωπα effecit, cf. Mill. Mél. p. 71. Kock, Com. I. p. 205. Vide quae M. Schmidt. l. l. docte exposuit.

3) cf. Hes. s. v. Βρίγες. Et. M. l. l.

4) Pausaniae doctrina nusquam recurrit. Suidas compilavit A. Dionysium. Similia Hes. s. v. B. A. 30, 31.

96. 1) Primam glossam, eamque vulgari usui addictam, ex Et. M. 214, 36 Diogeniano deberi disces. Unde ab atticista ad tritissimam explica-

δὲ βρόμον[2]) λέγει καὶ σπέρμα λεπτῇ κριθῇ ὅμοιον, τὸ κοινῶς δηλαδὴ λεγόμενον βρόμιον. τὸ μέντοι βρωμᾶσθαι[3]), ὃ καὶ ἐκτείνεται, φησὶν ὁ αὐτὸς ἐπὶ ἀρσένων ὄνων τίθεσθαι, ὅτι λιμώττουσιν, ἵνα ᾖ, φησι, τὸ βρωμᾶσθαι τὸ βρώμης, ὅ ἐστι τροφῆς, δεῖσθαι.

97. Eustath. p. 207, 2. βυσσαύχην[1]). Διονύσιος γὰρ Αἴλιός φησιν, ὅτι βυσσαύχην ὁ τοὺς ὤμους συνέλκων ἐπὶ τὸν τράχηλον, Παυσανίας μέντοι φησὶν, ὅτι βυσσαύχην ὁ τὸν αὐχένα συνέχων καὶ τοὺς ὤμους ἀνέλκων. Quo cum loco contexenda sunt verba Eustath. p. 838, 18. καὶ ὅτι τῷ ἐριαύχενι ὁ βυσσαύχην[2]) ἀντίκειται, ἄλλως μέντοι τροπικώτερον ὁ βυσσαύχην ψόγον δηλοῖ. σημαίνει γὰρ τὸν ἐπίβουλευτικὸν, ὥς φασιν οἱ παλαιοί.

Γ.

98. Eustath. p. 344, 12. σημείωσαι δὲ ὅτι ὥσπερ εἶδος ἀκοντίου ἡ αἰγανέα, οὕτω καὶ σίγυμνον παρὰ Λυκόφρονι (vs. 556) καὶ γαῖος[1]) ἢ γαῖον δόρυ ὁλοσίδηρον παρὰ Παυσανίᾳ ἢ ἐμβόλειον ὁλοσίδηρον.

---

tionem nova quaedam allata esse apparet cf. Prol. 68. Ad Diogenianum refer Phryn. Lob. 156.

[2]) Conv. Hes.

[3]) Conv. Hes. Suid. Anecd. Bachm. I. 182, 17. Moeris. βρωμᾶσθαι Ἀττικοί, ὀγκᾶσθαι Ἕλληνες. — Eadem tradit Poll. V. 88. quocum saepissime convenit Zenodotus, qui vocatur, ap. Valcken. Animadv. ad Ammonium p. 228, 230., qui locus plures ob causas cum Aristophane Byzantio cohaerere videtur, cf. Ammon. p. 145. Valck. Ar. Byz. ed. Nauck. p. 218. sq. Prol. p. 68. not. 1.

97. [1]) Ubique βυσαύχην legendum est. A. Dionysius recurrit apud Suid., Hesychius Pausaniae doctrinam exhibet. (Recte Cohn Jahrbb. XII. 347. n. 144. contra Boysenum p. 63. disputat).

[2]) cf. Poll. II. 135. βυσαύχην δὲ ὁ τοὺς μὲν ὤμους ἀνέλκων τὸν δὲ αὐχένα συνέλκων, ὃν ἐπίβουλον Ἀριστοτέλης φυσιογνωμονεῖ (cap. 3, p. 807b, 20). καὶ βυσαύχενας τοὺς ἀσκοὺς Ἀριστοφάνης κέκληκεν. οἱ δὲ ἐριαύχενες σφόδρα ποιητικόν. Quibuscum componas Mill. Mél. p. 418. βυσαύχην· ὁ ἐπιβουλευτικός ex Suetonio. — Aristophanem a Polluce laudatum Byzantium esse credo, quod Suetonius βυσαύχην vocem attulit. Fragmentum illud et ap. Nauckium et ap. Kockium desideratur.

98. [1]) Ad unum omnes contenderunt gaesum pro γαῖον Pausaniae restituendum esse, cf. Hes. γαῖσον· ἐμβόλιον ὁλοσίδηρον, ἢ ὅπλον ἀμυντήριον.

99. Eustath. p. 1539, 61. δῆλον δὲ ὡς ἀπὸ τοῦ γάλατος ἡ γαλήνη, ὅθεν καὶ γαλερὸν[1] κατὰ Παυσανίαν τὸ γαληνὸν καὶ ἥσυχον καὶ προσηνές.

100. Eustath. p. 648, 26. δηλοῖ δὲ ἡ μὲν γάλως[1] τὴν τοῦ ἀνδρὸς ἀδελφήν, καθὰ καὶ ἀλλαχοῦ δεδήλωται, ὁποία ἐστὶ τῇ Ἑλένῃ ἡ Κασάνδρα. κατὰ δὲ Αἴλιον Διονύσιον καὶ τὴν τοῦ ἀδελφοῦ γυναῖκα. πρὸς ἀλλήλας γάρ, φησι, λέγονται. (sequ. etymologia παρὰ τὸ γάλα). σημείωσαι δὲ ὅτι ἑτερώνυμόν ἐστι συγγενικὸν καὶ ἡ γάλως [ἤτοι γαλόως]. ἐχρῆν γὰρ εἶναι δάειρα ἐκ τοῦ δαὴρ δαέρος καὶ εἰσὶν οἳ τὴν χρῆσιν ταύτην εἰδότες ὡς εὐθὺς δηλωθήσεται· Ὅμηρος δέ γε οὐκ εἰδὼς τὴν λέξιν ταύτην γάλως λέγει ἑτερωνύμως, οὐ δάειρα. Λυκόφρων[2] δὲ μέμνηται μὲν Δαείρας, ἣν καὶ παρατίθησι τῇ Περσεφόνῃ ἐν στίχῳ ἑνί. οὐ συγγενικὴν δὲ λέξιν οἶδεν αὐτὴν ἀλλὰ δαιμονίαν. καὶ δοκεῖ προληπτικῶς ἡ λέξις ὡς θεία ληφθεῖσα σιγηθῆναι παρὰ τῷ ποιητῇ ἐπὶ ἀνθρωπίνης συγγενείας, ὁποῖόν τι καὶ ἐπὶ τῆς τοῦ Διὸς Ἀθηναίας καὶ ἐπὶ γυ-

---

Lex. Bachm. p. 183, 11. B. A. 88, 2. Poll. VII. 156. cf. Immisch, de gl. lex. Hes. ital. Stud. Lips. VIII. p. 323. sqqu. Suspicio autem movetur, an etiam γαῖος quaedam vox (= ἀναίσθητος) veteribus nota fuerit, si comparaveris Eustath. p. 188, 29. καὶ ὅτι ἐκ τοῦ γέα, ὃ γράφεται διὰ τοῦ ε̄ ψιλοῦ, γεῖος ἢ καὶ ἄλλως γαῖος· παρὰ Ἰταλιώταις καὶ Ταραντίνοις ὁ μίσθιος. ἔστι δ' ὅτε καὶ ὁ παχὺς καὶ ἀναίσθητος ἄνθρωπος. (cf. 962, 15. καὶ βουγάϊος. ὅ ἐστι μέγας καὶ ἀναίσθητος, ὡς Ἡρῳδιανὸς ἐν τῇ μεγάλῃ προσῳδίᾳ.) cum locis Et. m. 223, 6 (γαῖσος ἐμβόλιον σιδηροῦν. Τριήρων ... δὲ τὴν φωνὴν ἐπὶ τῶν ἀκοντίων ἃ Ῥωμαῖοι καλοῦσιν ὑσσούς. Ἰταλιῶται δὲ καὶ Ταραντῖνοι γαῖον τὸν μισθὸν λέγουσιν. ἐκ τοῦ γέα δὲ κτλ. καλοῦσι δ' οὕτως καὶ τὸν παχὺν καὶ ἀναίσθητον ἄνθρωπον. ἐκ τοῦ ῥητορικοῦ) et B. A. 229, 17., ubi eadem lacuna atque in Et. M. statuenda est. Tres igitur fuerunt voces γαῖσος, γαῖος (= μισθὸς), γάϊος (= ἀναίσθητος cf. Hes. s. v. βουγάϊε) quae postea a lexicographis confundebantur. — Diogenianum eadem tradidisse docet schol. ad Josua VIII, 18. a Montefalconio editus: ὁ λεξικογράφος Διογενειανὸς γαῖσος ἐμβόλιον εἶναι ὁλοσίδηρον, cf. Schmidt, Quaest. Hesych. p. 88.

99. [1] Cf. Hes. γαληνόν. ἥσυχον, ἱλαρὸν, εὔδιον. et γαληρὸν· τὸ αὐτὸ καὶ γαλερόν. cf. B. A. 229, 31. Et. M. 220, 28.

100. [1] cf. Hes. Apollon. lex. hom. 53, 31. Bekk. Suid. Hellad. ap. Phot. Bibl. p. 530a, 2. Poll. III. 32. Et. M. 220, 9. (= Et. Gud. 119, 20.) Glossa ap. Et. Gud. 119, 21. ex duabus (γάλως et γάλλος) conflata est.

[2] Lycophr. 710. cum notis Bachmanni et scholiis.

ναικὸς Ἀθηναίας προεδηλώθη[3]). ὅτι δὲ θεία λέξις ἡ Δάειρα δηλοῖ ὁ εἰπών[4])· Δάειραν Φερεκύδης (fr. 11. Müll.) ἱστορεῖ Στυγὸς ἀδελφήν, καὶ ἔοικέ, φησιν, οὕτως ἔχειν. ἐπὶ γὰρ ὑγρᾶς οὐσίας τάττουσιν οἱ παλαιοὶ τὴν Δάειραν, διὸ καὶ πολεμίαν τῇ Δήμητρι νομίζουσιν. ὅταν γὰρ θύηται αὐτῇ, οὐ πάρεστιν ἡ Δήμητρος ἱέρεια καὶ οὐδὲ τῶν τεθυμένων γεύεσθαι αὐτὴν ὅσιον. φαύλως οὖν ὁ Φανόδημος (fr. 21. Müll.) Ἀφροδίτην, φησί, νομίζει τὴν Δάειραν καὶ τὴν αὐτὴν τῇ Δήμητρι λέγει. ἔτι δὲ φαυλότεροι οἱ τὴν Ἥραν δάειραν τῆς Δήμητρος ἀποδιδόντες. δάειρα, γάρ, φασιν, ἡ τοῦ ἀνδρὸς ἀδελφή. τινὲς δὲ φύλακα Περσεφόνης ὑπὸ Πλούτωνος ἀποδειχθῆναί φασι τὴν Δάειραν. Αἴλιος μέντοι Διονύσιος Δαῖραν γράφων δισυλλάβως τῆν Δάειράν φησιν, ὅτι οἱ περὶ τελετὰς καὶ μυστήρια τὴν ὑγρὰν οὐσίαν δαῖραν ὀνομάζουσιν. — ἡ δὲ εἰνάτειρ[5])

---

[3]) cf. fr. 81. ex eisdem fontibus derivatum.

[4]) Auctorem glossae accuratiore doctrina refertae sine dubio Aelium Dionysium agnosces, cum eiusdem verba bis repetita habeas, cf. infra et apud Eust. p. 456, 13. *κατὰ δὲ τὸν ὅμοιον τρόπον* (atque *Καῖρα*) *καὶ Δάειρα κατὰ Αἴλιον Διονύσιον διὰ τοῦ ι γραφὲν πρός τινων, εἶτα συναιρεθὲν δισυλλάβως ὑπὸ Ἀττικῶν Δαῖρα ὀνομάζεται. ἦν δέ, φησι, μήτηρ Ἐλευσῖνος.* (cf. Apollod. I. 5, 2). Nomen et munera Dairae iam pridem fuisse oblitterata ex diversa veterum doctrina apparet. Iam quinta (*Δαῖραν* = Proserpinam) accedat ad quattuor illas ab atticista prolatas: Schol. Apoll. Rhod. III. 847. Tzetz. ad Lycophr. 710. Et. m. 244, 34. Gregor. Cor. ed. Schäfer. p. 679. 910. Töpff. Att. Geneal. p. 95. Aesch. fr. 277. Nauck. — Eadem vocis forma recurrit ap. Hes. *Δαῖρα· ἡ αὐτὴ τῇ Δαείρᾳ* cf. Harp. — *δαειρίτης*, qui in mysteriis munere aliquo fungebatur, ap. Poll. I. 35.

[5]) Quae doctrina nomine atticistae ipso ornata recurrit ap. Cram. Anecd. Par. III. 220. *Αἴλιος δὲ Δ. οὕτω φράζει· εἐνατέρες. αἱ ἐπὶ ἀδελφοῖς σύννυμφοι.* Schol. Lipsiens. ad Z. 378. *Αἴλιος Διονύσιος οὕτω φράζει. εἰνατέρες· αἱ τοῖς ἀλλήλων ἀδελφοῖς γεγαμημέναι, ἃς συνήθως φασί τινες ἀνδραδέλφας.* Quid haec testimonia valeant, vide Prol. 41. not. 1. Utrumque nihil est nisi merum apographon ex Eustathio ipso tractum, qua de causa etiam loci in Cram. Anecdotis Parisinis allati ad atticistarum doctrinam restaurandam nihil fere prosunt. — Apud lexicogr. redeunt in Et. m. 302, 16. Et. Gud. 168, 54. Hes. Coniuncta sunt cum doctrina de *γάλως* voce supra expedita in Schol. Hom. *X* 473 *σημαίνει δὲ* (sc. *γάλως*) *τὰς τοῦ ἀνδρὸς ἀδελφάς. εἰνατέρες δὲ αἱ γυναῖκες τῶν τοῦ ἀνδρὸς ἀδελφῶν.* Fons totius doctrinae fuit Ar. Byz. *περὶ συγγ.* cf. Mill. Mél. 432, 4. *γάλλως· τῇ γυναικὶ ἡ τοῦ ἀνδρὸς ἀδελφή, δαὴρ δὲ ὁ τοῦ ἀνδρὸς ἀδελ-*

τὴν σύννυμφον δηλοῖ, ὁποία Ἑλένη τῇ Ἀνδρομάχῃ [γίνεται δὲ παρὰ τὸ εὐνάζειν, οἱονεὶ ἡ συνευνάτειρα πρὸς ἄλλην]. Αἴλιος δὲ Διονύσιος οὕτω φράζει. εἰνάτερες· αἱ τοῖς ἀλλήλων ἀδελφοῖς γεγαμημέναι, ἃς συννύμφους τινές φασιν. ὥσπερ δὲ εἰνάτερες αἱ ἐπὶ ἀδελφοῖς σύννυμφοι, οὕτω καὶ ἀέλιοι[6]) κατὰ τοὺς παλαιοὺς οἱ ἀδελφὰς γυναῖκας ἔχοντες.

101. Eustath. p. 205, 44. τοῦ δὴ τρισυλλάβου τινὲς ὀξύνουσι τὴν πρώτην συλλαβήν, ὥς φησιν Αἴλιος Διονύσιος. οἱ δὲ πλεῖστοι γελοῖον μὲν προπερισπωμένως τὸν γελωτοποιὸν λέγουσιν, οἷον τὸν μῖμον, γέλοιον δὲ τὸν καταγέλαστον[1]). δοκεῖ δέ, φησι, τῶν παλαιῶν Ἀττικῶν εἶναι περισπᾶν τὰ τοιαῦτα· ὁμοῖον, ἑτοῖμον, γελοῖον[2]).

102. Eustath. p. 1257, 57. περὶ δὲ γενείου γράφει Αἴλιος Διονύσιος, ὅτι γενειὰς (Meier corr.) αἱ τρίχες, γένειον δὲ ὁ τόπος[1]).

103. Etym. Mag. p. 227, 26. γεραῖραι (l. γεραιραί[1]) παρὰ Ἀθηναίοις γυναῖκές τινες ἱεραί, ας ὁ βασιλεὺς καθίστησιν ἰσα-

---

φός. εἰνατέρες δὲ αἱ νῦν παρὰ τῇ συνηθείᾳ σύννυμφοι (qui idem fuit fons Pollucis III. 32).

[6]) Hes. ἀέλιοι. οἱ ἀδελφὰς γυναῖκας ἐσχηκότες. Nauck. Ar. Byz. p. 137. Prol. p. 41.

101. [1]) Cui doctrinae accedunt Suid. gl. 1. (qui deinde de variis γελοίων generibus exponit) Ammon. p. 36. Valck. Schol. Aesch. I. 126. Schol. Dem. p. 524, 11. Ddf. Schol. Luc. IV. p. 202. Jacobitz. Et. m. p. 224, 45. Hes. gl. 1. — Plane in contrarium disputatur ap. Lex. Bachm. p. 184, 5. Suid. gl. 2. Thom. Mag. p. 75. Et. Gud. p. 122. Et. m. 224, 35. gl. 1. — Tertia disputandi ratio praebetur ab Eustath. p. 906, 53: γελοῖος μὲν ὁ καταγέλαστος προπερισπωμένως, γελοιὸς δὲ ὀξυτόνως ὁ γελωτοποιός, quam petivit ex Philoponi συναγωγῇ τῶν πρὸς διάφορον σημασίαν διαφόρως τονουμένων λέξεων, cuius libri excerptum longius ad elementorum ordinem dispositum exhibet Eust. p. 1967, 20—37. Ex pluribus confusa est Hesychii glossa altera: γέλοιος. ἱλαρός, γελοιαστής, καὶ ὁ καταγέλαστος ἄνθρωπος ἢ λοίδορος, unde vix verum extrudi posse speraveris.

[2]) cf. Herod. I. 137, 15. ed. Lentz. Moer. p. 193, 24. Schol. Ar. Ran. 6. B. A. 678, 17. Phryn. Lob. not. ad p. 227.

102. [1]) Conv. Eust. 1799, 23. Et. M. 225, 55. Suid. Et. M. 226, 4. Hes. s. v. γενειάδες, γενειάς. Zon. p. 429. Tittm.

103. [1]) Formam γεραιραί ex Dem. in Neaer. 73. restitui, cf. Hes. γεραραί. ἱέρειαι κοινῶς. ἰδίως δὲ αἱ τῷ Διονύσῳ τῷ ἀριθμῷ ιδ'. = B. A. 231, 32. cf. Suid. s. v. γεραία. Harp. Pollux. VIII. 109. γεραραί. αὗται

ῥίθμους τοῖς βωμοῖς τοῦ Διονύσου διὰ το γεραίρειν τὸν θεόν. οὕτω Διονύσιος ὁ Ἁλικαρνασσεύς.

104. Eustath. p. 231, 35. ἰστέον δὲ ὅτι ἐν τοῖς Αἰλίου Διονυσίου φέρεται καὶ ὅτι γέρην· ἡ θήλεια γέρανος.

105. Eustath. p. 1924, 1. τὸ μέντοι γέρρον [1]) τὸ ἐν δυσὶ ρ οἱ μεθ' Ὅμηρον γράφουσιν. ἔστι δέ, φασι, γέρρον ἀσπὶς, πρόβλημα, θυρεός. [εἴρηται δέ τι περὶ αὐτοῦ καὶ ἐν τοῖς τοῦ περιηγητοῦ]. λαμβάνεται δὲ καὶ ἐπὶ φραγμοῦ τοιούτου ἡ λέξις καὶ σκηνῆς. Παυσανίας δὲ γράφει οὕτω· γέρρα· σκηνώματα καὶ Περσικὰ ὅπλα, καὶ τὸ τῶν ἀνδρῶν καὶ γυναικῶν μόριον, καὶ περιφράγματα. Αἴλιος δὲ Διονύσιος, ὅτι γέρρον καὶ οἱ περιπεφραγμένοι τόποι καὶ ἀσπίδες Περσικαὶ ἐκ λόγων καὶ οἰσύινοι· καλοῦσι δέ, φησιν, οὕτω οἱ κωμικοὶ καὶ τὸ, ὡς ἐρρέθη, γυναικεῖον.

106. Eustath. p. 1923, 63 [1]). Παυσανίας λέγει, ὅτι γέρων (Meineke e γέρον correxit) ξύλον στυλίδι παραπλήσιον,

---

ἄρρητα ἱερὰ Διονύσῳ ἔθυον μετ' ἄλλης θεωρίας. καθίστη δὲ αὐτὰς ὁ βασιλεὺς οὔσας τετταρασκαίδεκα. B. A. 228, 9. A quibus seiunge B. A. 231, 30.

104. [1]) Hes. γέρην. ἔντιμος. οἱ δὲ γέρανος (θήλεια). Quae doctrina singularis apud veteres non recurrit. De gruibus feminis Aristotelem quidem semper γέρανος vocem adhibuisse video, cf. exempli gratia Hist. Anim. IX. 12. τίκτει δὲ γέρανος δύο ᾠά.

105. [1]) Cum doctrina utriusque atticistae tantopere alterius aequet, difficillime dici potest, utri posteriorum glossae adscribendae sint. Fortasse ad Pausaniam Suid. gl. 1. γέρρα. παρὰ Σικελοῖς (i. e. Epicharmo, cf. Schol. Luc. IV. p. 219 Jac. An. Bachm. II. p. 339. Lorenz, Epich. p. 287) τὰ γυναικεῖα καὶ ἀνδρεῖα αἰδοῖα redigendum, cf. Hes. gl. 2. Append. Prov. I. 72 (Mill. Mél. p. 374.) quod cum Pausaniae ratione scribendi, cum proverbia ei dilectissima essent, optime congrueret. Aelii vero doctrina ad eosdem Siculos reducitur ap. Et. Gud. 622, 40. Et. m. 228, 42. — Uberrima in Schol. Luc. l. l., quod Freyer p. 368 totum ad atticistas referre non dubitat. Suidas quattuor glossas praebet, quarum gl. 1. ad Pausaniam, gl. 4. ad Aelium Dion. rettulerim, gl. 3 recentioris est originis, gl. 2. cum Harpocr. doctrina conspirat. — Et. M. 228, 42. Et. Gud. 133, 34. 58. Et. Or. 42, 24. Lex. Bachm. 184, 30. ex utraque doctrina conflata videntur, cf. B. A. 33, 1. 25. 227, 1. Schol. Ar. Ach. 22. Hes. gl. 1. Schol. Luc. vol. IV. p. 72. Jacobitz. Aesch. fr. 331. Nauck.

106. [1]) Subsequitur fr. 105. Cf. B. A. 35, 12. γέρων στύππινος et Poll. VII. 73. τὸ δὲ ἐργαλεῖον, καθ' οὗ ἔκλωθον ἐξαρτῶντες τὰ στυππεῖα, γέρων ἐκαλεῖτο. ἦν δὲ ξύλον πεποιημένον κιόνιον, σχῆμα Ἑρμοῦ τετραγώ-

ἔχον κεφαλὴν γεροντοειδῆ, πλαστὴν, γλυπτὴν, καὶ χεῖρας, ὡς Ἑρμοῦ τετραγώνου, ἐξ ὧν ἐκρέματό, φησι, τὰ νηθόμενα στυππεῖα.

107. Eustath. p. 962, 23 de voce βουγάιος agit eiusque de etymologia agens haec inserit: εἰς δὲ τὸ ἐφεξῆς, ἤγουν τὸ γάϊος, ὅτε ἀπὸ γῆς αὐτὸ παρῆχθαι δοκεῖ, χρήσιμον καὶ τὸ τοῦ Αἰλίου Διονυσίου εἰπόντος, ὅτι γεώλοφον[1]) οἱ παλαιοὶ καλοῦσι τὸν παχὺν καὶ ἀναίσθητον ἄνθρωπον, οἷα τῆς γῆς χρησίμου φαινομένης εἰς τὰ τοιαῦτα σκώπτεσθαι τοὺς μεγαλοσωμάτους, εἰ καὶ πολλοὶ τὸ ἐνεργὸν ἄλλως ἔχουσιν. Cui loco in A. Dionysii lexico haec praecessisse puto: Schol. Theocr. I. 12. γεώλοφον δὲ ὁ ἐν τῷ ὁμαλῷ πεδίῳ ὑπερανεστηκὼς ὄχθος, ὃς καὶ κολωνὸς καλεῖται· λέγει δὲ Διονύσιος ὁ Ἁλικαρνασεύς, ὅτι γεώλοφός ἐστιν ὁ ὑψηλὸς τόπος, κολωνὸς[2]) δὲ ὁ προέχων ἀπὸ τῆς γῆς μικρόν.

108. Eustath. p. 1880, 61. ἔτι ἰστέον καὶ ὅτι τὸν γυναικεῖον γέλων κιχλισμὸν[1]) ἐκάλουν οἱ παλαιοὶ, ὁποῖός τις καὶ ἄρτι ὁ δουλικός. οἱ δ' αὐτοὶ καὶ χύτραν[2]) (l. χύτρον) ἔλεγον εἶδός τι φιλήματος καθὰ καὶ † δράπετον[3]) καὶ παιδάριον[4]). Παυσανίας δὲ καὶ γιγγλισμὸν[5]) γένος λέγει φι-

---

νον ἔχον, ᾧ γέροντος ἦν πρόσωπον, ἀφ' οὗ καὶ τοὔνομα. Sequ. Pherecratis fr. 114. Kock. (Poll. X. 176). Fons Pausaniae, cum apud Poll. l. l. paullo infra ἀμόργινα (cf. fr. 47) explicetur, ni fallor, cum Polluce communis fuit, cf. Prol. p. 63.

107. [1]) Utraque glossa apud Et. M. 222, 49, ἐκ τοῦ ῥητορικοῦ, (cf. Heyden. p. 207.) et Suid. Altera in lex. Bachm. 185, 2. Hes. s. v. γεύλοφα.

[2]) Eust. 351, 4.

108. [1]) Similia Phot. Suid. gl. 2. et Suid. s. v. κιχλίζειν. Schol. Ar. Nub. 983. Anthol. Pal. V. 245, 1.

[2]) cf. Suid.

[3]) δρεπτὸν Schmidtius legi iubet. cf. Hes. s. v. et Et. M. 287, 27. Unde etiam error ap. Phot. s. v. μανδαλωτόν corrigendus est.

[4]) Non alibi. Haec vocis significatio ap. Steph. def.

[5]) cf. Suid. Lex. Bachm. 185, 10. Hes. s. v. γιγγλισμὸς, γιγγλισμοῖς. Cave confundas vocem γίγγλυμος, cuius explicatio ap. Suid. Lex. Bachm. 185, 13. extat. Perperam Hes. B. A. 232, 22 ad illam notionem attulere, quae ad γιγγλισμός referri debebant. Neque Pausanias ex Phot. s. v. μανδαλωτόν corrigendus, sed potius ille locus, quem iam not. 3. mendosum esse intelleximus, emendandus est.

[6]) cf. Hes.

λήματος. τὸ μέντοι γιγρὶ[6]) *ἐπιφώνημά τι ἐπὶ καταμωκήσει, ὡς ἐν ῥητορικῷ κεῖται λεξικῷ, ἐξ οὗ καὶ Γιγρὼν*[7]) *ἀφροδισιακός, φασι, δαίμων, ὃς καὶ δοκεῖ διάκονος γενέσθαι τῷ Ἄρει τῆς μοιχείας.*

109. Eustath. p. 1504, 17. *γλάφειν*[1]) *δὲ ὅτι τὸ κοιλαίνειν δηλοῖ, καὶ ὡς λειότερόν ἐστι τοῦ γράφειν κατὰ τὴν ἐκφώνησιν, ἐδηλώθη καὶ ἀλλαχοῦ. καὶ ὅτι ἐπὶ λογικῆς τινος γραφῆς ἔστιν ὅτε τίθεται, ὡς δηλοῖ παρὰ Παυσανίᾳ τὸ* (Com. III. no. 574. p. 512. ed. Kock.)

τὸν ἄνδρ' ἀπωσάμην τε κἀπεγλαψάμην
οἱονεὶ ἀπέξεσα καὶ ἀπήλειψα ὡς ἀπὸ βιβλίου.

110. Eustath. p. 1385, 13. *καὶ τὸ γλυκὺ ἐκ τοῦ γλεῦκος. ὅθεν καὶ γλεῦξις*[1]) *κατὰ Παυσανίαν· οἶνος πολὺ ἕψημα ἔχον, ὃ νῦν, φησι, σίρινος*[2]) (l. *σίραιος*, Meier Op. II. 94. corr.). *ὁ δ' αὐτὸς καὶ σίραιον οὐδετέρως.*

111. Eustath. p. 1220, 45. *Αἴλιος δὲ Διονύσιος ἐν τῷ λεξικῷ αὐτοῦ ῥητορικῷ οὐκ ἐθέλει ὀνομάζεσθαι γράστιν ὅλως. φησὶ γάρ· κράστιν Ἀττικοὶ τὴν πόαν, γράστιν δὲ οὐδένες*[1]). Quo cum loco contexendus est alter p. 633, 48. *καὶ ἡ*

---

[7]) cf. Eustath. p. 1598, 63.

109. [1]) Cf. p. 633, 45 *τὸ γλάφειν καὶ γλύφειν*. Paullo post ex eadem radice (*γλῶ, γρῶ*) *γρώνη* et *γράστις* derivantur cf. fr. 111. 113. 365. — Etym. M. 233, 44. simillima praefert, quibus s. f. adicit: *ἔστι δὲ καὶ ῥητορική*. cf. Heyden. p. 224. — Hes. *γλάφει. γλάψαι.* — B. A. 420, 32. *ἀπεγλαψάμην· ἀπεπνευσάμην. ἐκενωσάμην. ἔστι δὲ γλάψαι καὶ τὸ κοιλᾶναι καὶ βαθῦναι, ἀλλὰ καὶ τὸ λίαν καὶ διὰ βάθους* (?).

110. [1]) cf. Athen. I. 31E. — Schmidt. Qu. Hes. p. LXXIII. ad Pamphilum auctorem provocat, cf. Prol. p. 67. Hes. s. v. *γλεῦξις*. — Alia doctrina cum nostra confusa Hes. s. v. *γλύξις*. cf. Lex. Bachm. p. 185, 22, quod eadem aliis verbis docet. Vocem habes ap. Luc. Philops. 39. Ep. Sat. 22.

[2]) Vetustissima huius vocis vestigia ap. Galen. XVII. p. 322. *τὸ σίραιον, ὅπερ ἕψημα καλοῦσιν οἱ κατὰ τὴν ἡμετέραν Ἀσίαν Ἕλληνες*. cf. Kontos in Bull. de corresp. hellén. I. p. 58. sqqu., qui recte *σίραιον* vocem tuetur, et *σείραιον* alias scriptum reicit, cf. Poll. VI. 66. — Atticistae doctrina redit ap. Poll. VI. 16. Galen. lex. (vol. XIX. p. 138. Kühn) Erot. 103, 15. Klein. Phot. Suid. Hes. s. v. *σίρειον* et *ἕψημα* (ubi *σίραιον* pro *σειραί* corrigendum est). Schol. Ar. Vesp. 878. Ar. Eccles. 1174. Schol. Plat. Rep. 455C (cf. Kontos l. l.). — Zonar. p. 1633. Tittm. et Moer. *σείραιον Ἀττικοί, ἕψημα Ἕλληνες* inde corrigendi sunt.

111. [1]) Cum priore glossa conv. Harp. s. v. *κρᾶστις*. Suid. Eodem modo

τοῖς ἀλόγοις (i. e. equis) φίλη γράστις, ἣν καὶ κράστιν γράφουσιν οἱ παλαιοί, φάμενοι τὸν ἡμίξηρον χόρτον[2]) οὕτω καλεῖσθαι, ὅθεν καὶ ῥῆμα τὸ κραστίζεσθαι. cf. p. 852, 9.

112. **Eustath.** p. 1450, 45. γραῦς[1]) καὶ τὸ ἐπαφρίζον ἐν ταῖς χύτραις, καθὰ δηλοῖ καὶ ὁ κωμικὸς (Plut. 1206.) καὶ ἡ ἐπὶ τοῦ ζωμοῦ. αὕτη δὲ καὶ ἐπίπαγος[2]) κατὰ Παυσανίαν καλεῖται.

113. **Eustath.** p. 1307, 22. καὶ τόπος ἦν τῷ δίφρῳ εἰς τὸ κεῖσθαι αὐτὰς (sc. μάστιγας) ὃς ἐκαλεῖτο γρώνη[1]) ὁμωνύμως τῇ παρὰ Λυκόφρονι (20) θαλασσίᾳ γρώνῃ. φησὶ γοῦν Αἴλιος Διονύσιος· γρώνη τὸ κοῖλον τοῦ ἁρματείου δίφρου εἰς ὃ τὰς μάστιγας οἱ ἡνίοχοι ἀπετίθεντο. τὸ δ' αὐτὸ τοῦτο καὶ ληνόν[2]) τινες ἔλεγον.

114. **Eustath.** p. 1864, 4. γυρὸς[1]) δὲ ὁ στρογγύλους ἔχων ὤμους, ὑπόκυρτος, οὐκ εὐμήκης. οἱ δὲ παλαιοί φασιν, ὅτι γυροὶ λέγονται καί, οὗ τὰ φυτὰ ἐμβάλλουσι, καὶ ὅτι ἐκ τοῦ γυροῦ ὀξυτόνου καὶ γυρῖνοι βάτραχοι, γυρὸν τὸ σχῆμα παρ' Ἀττικοῖς, μήπω πόδας ἔχοντες[2]). Ἴωνες δὲ κατὰ Παυσανίαν γερίνους τοὺς τοιούτους φασίν.

---

atque Dionysius distinguunt Moer. et Hes. qui s. finem addit ἐστὶ δὲ ὁ χλωρὸς χόρτος, unde etiam alterum locum ex A. Dionysio petitum esse conicio.

[2]) Conv. B. A. 273, 28. Et. M. 535, 23. Similia Et. M. 239, 33. Et. Gud. 129, 22 ubi γράστις pro γράτις legendum est. κράστιν = χόρτον etiam Poll. VII. 142. — cf. fr. 110. et 113.

112. [1]) Ad iocum celeberrimum comici vox alludit: alterum de Menandro habes ap. Athen. p. 585 C. Vocem ipsam dubitanter atticistae tribuo. Recurrit ap. Hes. τὸ συναγόμενον καὶ ἐπιπηγνύμενον ἐπάνω, ὅταν γάλα ἕψηται κτλ. cf. Suid. s. v. Similia in scholiis ad Ar. Plut. 1206.

[2]) cf. Hes.

113. [1]) Pluribus locis Eustath. alia de γρώνη profert. Cum atticista congruit Hes. γρώνη. σαπρὰ γραῦς (cf. Eust. 633. 47) οἱ δὲ τὴν παλαιὰν † ὄνησιν (καὶ τὸ κοῖλον τοῦ δίφρου, οὗ λόγχαι κεῖνται κτλ.). cf. Et. M. 241, 52. Et. Or. 44, 10. Et. Gud. 130, 13. Tzetz. ad Lycophr. l. l.

[2]) cf. Hes. — Phot. B. A. 277, 19. Naber ad Ael. Dionysium revocare studet.

114. [1]) cf. Suid. Hes.

[2]) Hes. τὸ ἐκ τοῦ βατράχου παιδίον. Aristot. hist. anim. VI. 12. piscium prolem primum γυρινώδη fieri affirmat. Et. M. 293, 49. Gud. 132, 6. Mill. Mél. p. 79. Et. Or. 44, 11. — Pausaniae doctrina nusquam redit.

Δ.

115. Eustath. p. 1241, 46. *Κάγκανα*[1]) δὲ γίνεται παρα τὸ καίειν καὶ καίνειν, τὰ εἰς τὸ καίεσθαι καινόμενα, ἤτοι κοπτόμενα. *Παυσανίας* δὲ *δανὰ*[2]) τὰ τοιαῦτα ξύλα καλεῖσθαι δηλοῖ. φησὶ γάρ· *δανά*· εὐκέαστα (Meier εὔκαυστα corr.) ξηρά, παρὰ τὸ δεύεσθαι.

116. Eustath. p. 1369, 42. παρὰ Αἰλίῳ Διονυσίῳ καὶ ἑτέροις φέρεται καὶ ταῦτα· *δάπιδες*[1]) στρώματα ἄττα. Φερεκράτης (fr. 185. Kock)

ὁ χορὸς δ' αὐτοῖς εἶχε δάπιδας ῥυπαρὰς καὶ στρωματόδεσμα.

λέγουσι δέ, φησι, καὶ ἐν τῷ ταῦ τάπιδας[2]). *δάπητας* δέ, φησιν, ἔλεγον οἱ παλαιοὶ τὰ ἐπιβόλαια[3]). οἱ δὲ νεώτεροι τάπητας ἐν δυσὶ ταῦ, τῷ κατὰ τὴν ἀρχήν, τῷ κατὰ τὸ τέλος.

117. Eustath. p. 274, 24. *δαῦλον*[1]) γὰρ τὸ δασὺ ἔλεγον προπερισπωμένως, ὡς δηλοῖ Παυσανίας εἰπών· δαῦλον τὸ δασύ, ἡ προτέρα περισπᾶται. Αἰσχύλος (fr. 27. Nauck.) δαῦλος δ' ὑπήνη. cf. Paus. perieg. X. 4, 7.

118. Eustath. p. 1221, 26. ἰστέον δὲ ὅτι παρὰ Παυσανίᾳ φέρεται *δελφὶς*[1]) ὄργανον πολεμιστήριον πρὸς ναυμαχίαν,

---

115. [1]) Cum ap. Eust. voces *κάγκανα* et *δανὰ* semper coniunctae proferantur, etiam hanc glossam atticistis non abiudicaverim. cf. p. 871, 4. 1605, 5. 1783, 7. 1848, 32. — cf. Suid. Lex. Bachm. 265, 10. Hes. s. v. *καγκαίνει*, *καγκαλέα*, *κάγκαμον*, *καγκομένης* et *κάνκανον ὕλαν*. Et. M. 482, 34. Gud. 289, 39. Or. 87, 14.

[2]) cf. Hes. Suid. *δανὰ τὰ ξηρὰ ξύλα· τὸ δᾱ μακρόν. Καλλίμαχος. „ξύλα δανὰ κέασσαι* (ο 322)" *τουτέστι σχίσαι*. cf. Et. M. 247, 36. *δανά. τὰ ξηρὰ ξύλα. οὕτω καὶ εἰς τὸ ῥητορικόν. οἷον „διά τε ξύλα δανὰ κέασσαι", ἢ παρὰ τὸ δαίω τὸ καίω, τὰ εἰς καῦσιν ἐπιτήδεια, εὔκαυστα, θερμά.* cf. Et. Gud. 134, 4.

116. [1]) cf. fr. 309. Conv. Et. M. 248, 13. Glossa rhetorica, cf. Mill. Mél. p. 81. Heyden p. 256. Hes. *δάπιδες*. Suid. Schol. Ar. Vesp. 676.

[2]) cf. Hes.

[3]) cf. Phot. Suid.

117. [1]) Suspicio movetur, an tota explicatio ex Pausania periegeta sumpta sit, cf. Rindfl. p. 60. Non tamen est, cur hanc explicationem Pausaniae atticistae tribuere dubitemus, cum eadem ap. Hes. Suid. Et. M. 249, 49. 250, 4. redeat. Vocem iam antiquis temporibus fuisse oblitteratam docet Strabo p. 421.

118. [1]) Conv. Suid., qui Thuc. VII. 41. laudat. Glossas iam in fonte Pausaniae coniunctas fuisse docet Poll. I. 85. Et. M. 255, 25.

ὅθεν καὶ δελφινοφόρος ναῦς παρὰ Θουκυδίδῃ καὶ δελφῖνα[2]) δὲ ναῦται (ed. ναύτην. Naber correxit) φασιν, ὃς πρὸς ἱστοῖς ἐκρέματο, τοῖς μὲν σιδηροῦς τοῖς δὲ μολυβδοῦς. καταράκτης εἰς τὰ ληστρικὰ πλοῖα. μνεία δὲ τοιούτου δελφῖνος καὶ τῷ κωμικῷ (Ar. Eq. 762) καὶ ἑτέροις. ἀλλαχοῦ δὲ περὶ τοῦ αὐτοῦ γράφει ὁ ῥηθεὶς, ὅτι ὁ δελφὶς, ὁ καλούμενος κερκέτης[3]) ἐστὶ μηχάνημα σιδηροῦν, ὃ ἐξαρτᾶται τῆς νεὼς, ὅταν ᾖ ἄνεμος πρὸς τὸ ἀντέχειν. ἄλλοι δέ φασιν· ὄργανον μολυβδοῦν πρὸς ναυμαχίαν.

119. Eustath. p. 396, 22. ἰστέον δὲ ὅτι ἐν τῷ Αἰλίου Διονυσίου λεξικῷ φέρεται, ὅτι λέγεται οὐ μόνον δένδρον[1]), ἀλλὰ καὶ δένδρεον καὶ δένδρος. φησὶ γοῦν ὅτι δένδρον μᾶλλον ἢ δένδρος, καὶ δένδρα μᾶλλον ἢ δένδρη, καὶ αἱ πτώσεις δένδρου καὶ δένδρῳ, μᾶλλον ἢ δένδρει, καὶ δένδρους. Ξενοφῶν δέ, φησιν, ἐκείνως μᾶλλον ὀνομάζει, δένδρος καὶ δένδρει καὶ δένδρεσι καὶ δένδρη καὶ δένδρεα. Ὅμηρος δὲ ἔνθα μὲν δένδρεα λέγει ἔνθα δὲ „δενδρέῳ ἐφεζόμενοι". ὅτι δὲ ἐκ τοῦ δένδρου καὶ δενδρυάζειν[2]), ὡς καὶ ἐν Ὀδυσσείᾳ γέγραπται, τὸ δρυσὶ σκέπεσθαι καὶ τὸ καθ' ὕδατος δύεσθαι, τὰ ῥητορικὰ δηλοῦσι λεξικά. Ὁ δὲ ῥηθεὶς Διονύσιός φησιν, ὅτι καὶ φωνήν τινα καλοῦσιν οἱ φωνασκοὶ δενδρυάζουσαν.

120. Eustath. p. 398, 29. τὸ δὲ δεῦρο νῦν μὲν τὸ ἐλθὲ δηλοῖ. ἀλλαχοῦ δέ ποτε τὸ ἐνθάδε, ὡς καὶ Αἴλιος Διονύσιος[1]).

---

[2]) Ex pleniore glossa Pausaniae allatum esse videtur. Recurrit doctrina ap. Suid. gl. 2., qui Aristophanis locum ex Equ. 762 (cf. Schol.) affert. Scholion Aristoph. no. 3. ex atticistarum scriniis depromptum esse videtur.

[3]) cf. Phot. Hes.

119. [1]) Similia, sed multo breviora p. 772, 31. 1433, 47. Ex uberrima Dionysii doctrina apud posteriores nil servatum est, nisi miserae laciniae ap. Suid. δένδρει τῷ δένδρῳ. Moer. δένδροις Ξενοφῶν, δένδρεσι Θουκυδίδης (II. 75).

[2]) cf. Eust. 1726, 16. ὅτι δὲ καὶ δενδρυάζειν ἐντεῦθεν τὸ ἐν δρυσὶν, ὅ ἐστι δένδροις, κρύπτεσθαι, δεδήλωται καὶ ἀλλαχοῦ. Cum Pausaniae fragmentum ἔφυγον κακὸν, εὗρον ἄμεινον subsequatur, lex. rhet. Pausaniae esse confido. Apud posteriores recurrit doctrina ap. Suid. Hes. Et. M. p. 255, 55.

120. [1]) Conv. Suid. gl. 1. Hes. et Lex. Bachm. 191, 22. δεῦρο et δεῦρ' ἀεί. (cf. Suid.). Doctrina eadem sed aliis verbis ap. Et. M. 258, 54. Et. Gud. p. 139, 32. gl. 1. et. 2. Priorem significationem habes in B. A. 88, 19., alteram ap. Apollon. lex. Hom. 57, 33. Bekk. — Alia est doctrina B A.

121. Eustath. p. 1453, 19. *σημείωσαι δὲ ὅτι πρῶτος*[1] *ἂν ῥηθείη πλοῦς, ὁ ὑπὸ τοῦ Ὁμήρου, ὡς ἐρρέθη, φρασθείς· εἴγε δεύτερος πλοῦς*[1] *λέγεται „ὅτε ἀποτυχών τις οὐρίου κώπαις πλέει" κατὰ Παυσανίαν*[2].

122. Eustath. p. 1825, 5. *δημιουργοὶ — οἱ κατὰ τὸ δημόσιον χειροτέχναι, οἳ καὶ κλητοί εἰσι, διότι καλοῦνταί ποτε ἄλλοθεν, ὡς ἐτυμολογεῖ ὁ ποιητής. Αἴλιος δὲ Διονύσιός φησιν, ὅτι δημιουργὸν Ἀττικοὶ λέγουσιν οὔτε τὸν δημοσίᾳ μισθαρνοῦντα, ὡς Ὅμηρος, οὔτε τὸν δῆμον προεστῶτα, ὡς οἱ Δωριεῖς, ἀλλὰ γυναῖκα πέττουσαν πέμματα*[1]. *Παυσανίας δὲ λέγει, ὅτι δημιουργοὶ οἱ δημοσίᾳ ἐργαζόμενοι ἀρχιτέκτονες*[2] *καὶ ἅπαξ πάντες οἱ χειροτέχναι, οἳ γεωργοὺς καὶ πολιτικοὺς ὠφέλουν. ὅθεν δημιουργοί, φησι, καὶ αἱ τοῖς γάμοις τὰ σύμφορα πέττουσαι, αἳ καὶ νυμφίους, φησίν, ἔλουον καὶ ἱερουργίας ἐν γάμοις ἐποίουν καὶ πόπανα παντοδαπὰ καὶ ἄρτους ἔπεττον*[3] *καὶ τὰς κόμας εὐθέτιζον.*

123. Eustath. p. 901, 10. *ἐπεὶ δὲ εὐτέλειά τις τῷ δήμῳ συνυπακούεται, ἤγουν τῷ ῥηθέντι δημότῃ ἀνδρί, δοκεῖ ἐντεῦθεν δημοῦσθαι ῥηθῆναι παρὰ τῷ φιλοσόφῳ Πλάτωνι τὸ παίζειν, ὡς ἑρμηνεύει Αἴλιος Διονύσιος*[1].

185, 24. *δεῦρο· πολλοὶ μὲν ἐπὶ χρόνου τάσσουσι τὸ δεῦρο, οἱ ῥήτορες δὲ ἐπὶ τοῦ τόπου ἀεί,* qua cum glossa componas Suid. gl. 2.

121. [1]) Priora Pausaniae tribui propt. Eust. 661, 43.

[2]) Conv. Suid. Lex. Bachm. 191, 31. Anecd. Boisson. II. 445. Diogen. II. 45. (qui Philemonem comicum testem laudat). Mein. Com. IV. p. 139. usum vocis Menandro tribuere mavult, cf. Stob. Floril. LIX. 9. Cui Schneidewinus l. l. obloquitur, cum Schol. Plat. Phaed. p. 99 D (Macar. III. 20). exquisitae doctrinae plenus locum ex Thrasyleonte petitum omittere non debuerit. — Kock. Men. fr. 241. Meinekio adsentitur.

122. [1]) Ex utriusque doctrina Hes. sua confudit. Alio modo processit Suid. gl. 1. Schol. Ar. Eq. 650. Tertiam viam Et. M. 265, 43 (= Et. Gud. 141, 37, quod foedissimis mendis inde liberandum est) aperuit.

[2]) cf. Hes. s. v. *δημιουργεῖ*, Schol. Ar. Pac. 296. Suid. gl. 2. Lex. Bachm. 193, 8.

[3]) cf. Poll. III. 41. Antiquissimum huius rei testimonium ap. Ath. IV. 172 A—C. (male excerpt. ap. Eust. 1082, 39. 1858, 51). cf. Prol. 60.

123. [1]) Conv. Schol. Plat. Theaet. 161 E. *δημούμενον. δημοκοποῦντα, παίζοντα, θωπεύοντα.* cf. Tim. Suid. Hes. Pseudo-Did. ap. Mill. Mél. p. 404. Schol. Ar. Lys. 601. Moerid. Et. M. 265, 36. *δημοῦσθαι, παίζειν. οὕτως Πλάτων· καὶ δημώματα· παίγνια.* Etiam *δήμωμα* vocem, cum etymologus cum atticista conveniat, ex illius scriniis petitam esse puto. cf. Hes.

124. Eustath. p. 756, 61. *ἔνθα σημείωσαι καὶ ὡς ἐντεῦθεν τοῖς παλαιοῖς ἐλήφθη τὸ διακυνοφθαλμίζεσθαι, ὅπερ δηλοῖ κατὰ Αἴλιον Διονύσιον τὸ ὑποβλέπεσθαι καὶ ὑφορᾶσθαι ἀλλήλους* [1]).

125. Eustath. p. 1208, 42. *εἴρηται δὲ καὶ διαληκᾶσθαι παρὰ Αἰλίῳ Διονυσίῳ. ἐκεῖνο δὲ ἀντὶ διαμωκᾶσθαι καὶ διαπαίζειν εἴρηται* [1]).

126. Eustath. p. 749, 15. *διαττᾶσθαι, ὅ ἐστι σήθεσθαι κατὰ Αἴλιον Διονύσιον, ὅς φησιν, ὅτι διαττᾶν Ἀττικοὶ λέγουσιν τὸ σήθειν* [1]) *καὶ διηττημένον τὸ σεσησμένον.*

127. Eustath. p. 1384, 45. *ἐπλήθυναν αὐτὸν* (sc. *τὸν Δία*) *κατὰ τὴν κλίσιν οἱ μεθ' Ὅμηρον, ὡς Αἴλιος Διονύσιος ἱστορεῖ. Δίες γάρ φησι τὸ πληθυντικὸν τοῦ Διός, καὶ δρᾶμα οὕτως ἐπιγέγραπται. καὶ αἱ ἐφεξῆς πτώσεις Διῶν καὶ Διοὶ καὶ Δίας.*

128. Eustath. p. 203, 14. *Αἴλιος δὲ Διονύσιός φησι καὶ ὅτι δίοπος ὁ ναυφύλαξ* [1]) *ὡς ἐπισκοπῶν αὐτὴν καὶ ἐφορῶν.* ib. p. 99, 2. *ὁ δίοπος — λέξις παρ' Αἰσχύλῳ ἡγεμονική.* ib. p. 1705, 53. *διέπειν τὸ ἐνεργεῖν λέγει, ὅθεν καὶ δίοπος ὁ οἰκονόμος παρ' Αἰσχύλῳ* [2]).

---

124. [1]) Similis doctrina ap. Hes. s. v. *διακυνοφθαλμίζεται· διυποβλέπεται· διανεύει ἢ ἀναιδῶς ἀνθίσταται.* Cf. Phot. Suid. Hes. s. v. *κυνοφθαλμίζει.* B. A. 48, 31. *κυνοφθαλμίζεται. ἀναιδῶς καὶ ἰταμῶς ὁρᾷ, τρόπον † ματρύλλου.* Corruptela nondum sanata est; an *μάχλου*?

125. [1]) Hes. *διαληκ[μ]ᾶσθαι. διασύρειν. διαμωκᾶσθαι.*

126. [1]) Conv. Suid. Hes. Timae. Et. M. 271, 36. 710, 45., ubi etymologia accedit. — Hes. *δίαττος· ἡ ἀλευρότησις, τὸ κόσκινον* adiungit, fortasse originis veteris, cum iam vox explicans *ἀλευρότησις* antiquae originis sit, cf. Poll. VII. 74. X. 114. B. A. 382, 24.

128. [1]) cf. Suid. *διόπος· ὁ διέπων καὶ διοπτεύων, ὁ τῆς νεὼς ἐπιμελητής. καὶ δίοποι οἱ βασιλεῖς, παρὰ τὸ διέπειν ἢ διοπτεύειν,* cf. Hes. gl. *διοπεύειν* (= Et. M. 278, 6.), gl. *δίοποι* = Et. M. gl. 2, gl. *δίοπος.* Et. Gud. 146, 56. Lex. Bachm. 199, 30. Harpocr. Poll. VII. 139. (qui Aristophanis comici testimonium affert). Galen. Gloss. Hippocr. Vol. XIX. p. 93 Kühn *δίοπος· νεὼς ἐπιμελητής, παρὰ τὸ διοπτεύειν ἢ διέπειν τὰ ἐν αὐτῇ.* Ilberg, Comm. Ribb. p. 338, iam *νεὼς* ex mss. restituit. *αὐτῇ* pro *αὐτῷ* correxi. — B. A. 237, 22 *διοπωπεύων* eodem modo explicat atque A. Dion. et reges *διοπωπέας* appellatos esse dicit. cf. Et. M. l. l.

[2]) Locum Aeschyleum et ipsum atticistae deberi apparet ex Erot. p. 61, 14. Klein. *διόπῳ· τῷ τῆς νεὼς ἐπιμελητῇ, παρὰ τὸ διοπτεύειν.*

129. Eustath. p. 757, 52. *ἰστέον δέ, ὡς εἰ καὶ περὶ τοῦ ζωικοῦ ἐγκεφάλου ἐδηλώθη τὰ ῥηθέντα, ὅμως Διὸς ἐγκέφαλος*[1]) *ἦν κατὰ Παυσανίαν κάλλιστόν τι βρῶμα. ὁποῖα ἴσως καὶ τὰ παρὰ τῷ κωμικῷ εὖ ἠρτυμένα θρῖα τοῦ ἐγκεφάλου.*

130. Eustath. p. 341, 4. *Αἴλιος δὲ Διονύσιος, ἐν ᾧ συνέθετο λεξικῷ, φησι· διέτης, τριέτης πεντέτης καὶ πάντα τὰ ὅμοια βαρύνουσιν Ἀττικοί, προφέροντες τῷ τόνῳ ὡς εὐεργέτης*[1]) ib. p. 1459, 1. *ἔνθα καὶ ὅρα τὸ πεντάετες καὶ ἑξάετες, καθ' ὁμοιότητα παραχθέντα τοῦ τρίετες, περὶ οὗ προγέγραπται. καὶ τοῦ αὐτόετες, ὃ ἐν τοῖς ἑξῆς που λεχθήσεται* (p. 1470, 16) *καὶ τοῦ εἰνάετες, ὃ μετ' ὀλίγα κεῖται παρὰ τῷ ποιητῇ*[2]).

131. Eustath. p. 368, 8. *οἱ δὲ σχολιασταὶ οὕτω· Φθιρῶν ὄρος Καρίας, περὶ Μίλητον, πολλὰς ἔχων πίτυς, ὧν τὰ ἐξανθήματα οὕτω καλεῖται, ὡς ὅμοια φθειρσὶν, οἳ καὶ δίρκοι καλοῦνται, ὡς δηλοῖ Παυσανίας ἐν τῷ κατ' αὐτὸν λεξικῷ εἰπών· δίρκοι· οἱ φθεῖρες*[1]).

132. Eustath. p. 882, 12[1]). *ὅτι δὲ ὁ δίφρος*[2]) *καὶ ὁ*

Ἀττικὴ δὲ ἡ λέξις, κειμένη καὶ παρ' Ἀριστοφάνει ἐν Ἀττικαῖς λέξεσι καὶ παρ' Αἰσχύλῳ ἐν Σισύφῳ (fr. 232) *καὶ Εὐριπίδῃ ἐν Ἱππολύτῳ* (fr. 447) Nauck. Ar. Byz. p. 186. et Prol. p. 57. sq. Schmidt. quidem (ad Hes. gl. 2) *δίοπον* ad Aesch. Pers. 44. rettulit. Non tamen est, cur id apud Eustath. factum putemus; imprimis alter locus non ad Persarum reges quadrat. Ad atticistam et locum ex Aeschyli Sisypho petitum propius accedit.

129. [1]) cf. Suid. *Διὸς ἐγκέφαλος. τὸ κάλλιστον βρῶμα· οὕτω λέγουσιν οἱ Πέρσαι ἐπὶ τῶν ἡδυπαθούντων. ἢ βασιλέως ἐγκέφαλος.* Verba ultima ad att. refero, cum ubique recurrant, cf. Plut. 63. Diog. IV. 24. Iam veteres utramque escam ita coniunxisse apparet ex Athen. XII. 529. E., qui ex Clearcho hausit. — Suidae verba iterantur ap. Zenob. III. 41. (= Mill. Mél. p. 373), qui Clearchum *ἐν πέμπτῳ περὶ βίων* testem appellat. Athen. XII. 514E vero fragmentum ipsum ex libro quarto adfert. Hes. nomen Clearchi solum protulit.

130. [1]) Apion et Herodorus grammatici ante haec Dionysii verba in contrarium disputaverunt. Cf. Poll. I. 54. Eustath. p. 1437, 10. Dionysii sententiam ab omnibus probatam, iterum habes apud Herod. ed. Lentz. I. 81, 10. sqqu., II. 687, 11. sqqu.

[2]) ad atticistam dubitanter rettuli. In Herodiani reliquiis I. p. 350, 19. legitur *αὐτοετὴς αὐτοετὲς, τὸ δὲ αὐτόετες ἐπιρρηματικῶς προπαροξύνεται.*

131. [1]) Nusquam recurrit.

132. [1]) Alterum locum, quem Eust. ipse laudat, indagare non potui.

διόχης (l. *διώχης*) *κατὰ Παυσανίαν ἐκαλεῖτο ἀπὸ τοῦ δύο ἔχειν, καθὰ καὶ δίφρος ἀπὸ τοῦ δύο φέρειν, καὶ ὅτι τὸν τοιοῦτον διωχὴν*[3]) *καὶ δίεδρον*[4]) *καλοῦσιν, εἴρηται καὶ ἀλλαχοῦ.*

133. Eustath. p. 1165, 24. *δονακῆα*[1]) *δὲ περιεκτικῶς λέγει τὸν δόνακας ἔχοντα, οἳ διαφέρουσι καλάμων, ὅτι λεπτότατος μὲν ὁ δόναξ, ἁδρὸς δὲ ὁ κάλαμος. καὶ ὁ μὲν δόναξ ὡς ἐπὶ πολὺ ποτάμιος, οὐ μὴν καὶ ὁ κάλαμος. καὶ δόναξ μὲν συριγκταῖς χρήσιμος, κάλαμος δὲ αὐληταῖς, ὅθεν καί τις φαύλως αὐλῶν* † *ὀλοσιαλοκάλαμος* (*ὀλεσιαυλοκάλαμος*?) *ἐσκώφθη· Αἴλιος δὲ Διονύσιος εἰπὼν ὡς δόναξ*[2]) *καὶ τὸ ὑπολύριον* (Meier, *λύριον* edd.) *ἐπάγει· τὸ γὰρ παλαιὸν ἀντὶ τοῦ κέρατος ὑπετίθεντο κάλαμον. ἐμφαίνει δὲ τοιοῦτόν τι καὶ ὁ κωμικὸς ἐν Βατράχοις ὑπολύριον εἰπὼν δόνακα.*

134. Eustath. p. 243, 6. *δορίδες κατ᾽ Αἴλιον Διονύσιον μαγειρικαὶ τράπεζαι*[1]).

135. Eustath. p. 408, 4. *θατέρᾳ μὲν δόρυ, θατέρᾳ δὲ κηρύκειον προϊσχόμενος, ὃ δὴ παροιμία ἦν, ὥς φησι Παυσα-*

---

[2]) cf. Suid. Et. M. 279, 30. Et. Gud. 148, 23. Hes. Apollon. lex. hom. 59, 15. Bekk.

[3]) Rindfleisch ex Polluce X. 47 *διωχῆς* efficere studuit. Hes. corruptus est et cum Schmidtio e Polluce corrigendus. Et. M. 280, 539. *διώχης* exhibet.

[4]) cf. Hes. *δίεδρος· διαφανὴς ἢ λαμπρὰ καθέδρα.* Erot. p. 69, 3. Klein.

133. [1]) Haec priora non omittenda duxi propter schol. Hom. Σ 576 (Ven. A.) *φησὶ δὲ Διονύσιος γράφεσθαι καὶ δονακῆεν κατὰ τὸ οὐδέτερον, ὡς καὶ τὸν πευκῶνα πευκᾶεν.* Cum uterque Dionysius ad eundem locum Homericum de simillimis vocabulis laudetur, etiam altera observatio ad atticistam referenda est. — Doctrina eadem atque supra reperitur ap. Eust. 818, 30.

[2]) Meieri coniectura imprimis fulcitur a Poll. IV. 62., qui Sophoclis versum laudat ex *Αἰχμαλώτισιν*, qui apud Schol. Ar. Ran. 231 redit; unde verisimile fit, et Aelium Dionysium ad Ranas respexisse et versum illum iam in vetere fonte, unde Poll. et schol. Ran. hauserunt, fuisse. — Atticistae doctrina, sed fusior, iteratur ap. Hes. gl. *δονάκων*. Suid. Et. M. 283, 7. Et. Gud. 149, 56. 150, 1. 623, 10.

134. [1]) Hes. *δορίς. σκεῦος μαγειρικόν.* cf. Anaxippi versus ap. Ath. IV. p. 169B., quem *μαγειρικὰ σκεύη* ibi enumerare vides. — Et. M. 284, 7. quidem: *δορίδες. μάχαιραι μαγειρικαί· εἰς τὸ ἐκδεῖραι τὰ θύματα ἐπιτήδειοι.* Cave tamen mutes, cum Poll. VI. 89. *δορίδας αἷς ἔδερον, ἢ ἐφ᾽ ὧν,* vocem utroque sensu adhibitam fuisse doceat.

νίας, ἐπὶ τῶν ἅμα παρακαλούντων, καὶ ἀπειλούντων[1]). οἱ δεκατευθέντες γάρ, φησιν, εἰς Δελφοὺς ὑπ' Ἀθηναίων[2]) Γεφυραῖοι λαβόντες χρησμὸν ὡς

ἀνδρὶ Γεφυραίῳ οἶκος φίλος, οἶκος ἄριστος

εἶτα βουσὶν ἀκολουθοῦντες, ἕως οὗ ἐκεῖνοι κοπιάσουσιν [οἱ βόες δηλαδὴ], ὡς ὁ θεὸς αὐτοῖς ἔχρησεν, ὅπως ἐκεῖ καταμείνωσι, πολεμουμένων Ἀθηναίων ὑπ' Εὐμόλπου, ἐπὶ Τάναγραν ὥδευσαν, δόντες μὲν τῷ προηγουμένῳ κηρύκειον ὡς ἐπὶ πρεσβείᾳ καὶ εἰρήνῃ, καθοπλίσαντες δὲ κάτοπιν τοὺς νέους. ὅθεν παροιμία ἐξέπεσεν ἐπὶ ὅμοιά τινα ποιούντων λέγουσα, δόρυ καὶ κηρύκειον. ἐν ἑτέρῳ δὲ ῥητορικῷ λεξικῷ[3]) γράφει, ὡς ὑπὸ Ταναγραίων πολεμούμενοι Γεφυραῖοι προέπεμψαν κήρυκα καὶ κάτοπιν καθώπλισαν ἑαυτούς, κἀντεῦθεν ἡ ῥηθεῖσα παροιμία.

136. Eustath. p. 1291, 44[1]). ἔτι ἰστέον καὶ ὅτι ἀπὸ τῆς δοχμῆς ἢ δόχμης βαρυτόνως γίνεται τὸ δόχμιον· περὶ ἧς Αἴλιος Διονύσιός φησιν οὕτω. δόχμη τὸ τετραδάκτυλον. Ἀρίσταρχος δὲ ὀξύνει, ὡς δηλοῖ καὶ ὁ κωμικὸς ἐν τῷ (Kock. Com. III. p. 511).

οὗτοι δ' ἀφεστήκασι πλεῖν ἢ δύο δοχμά.

ἐν μέντοι, φησὶν, τοῖς ἀκριβεστέροις ἀντιγράφοις ὀξεῖα ἐπίκειται τῇ πρώτῃ συλλαβῇ κατὰ τὸ λόχμη, λόγχη, ὄχθη, ὄγχνη. [ἕτερος δέ τις λέγει καὶ αὐτὸς, ὅτι δόχμη ὡς ὄχθη καὶ στάθμη κατὰ Τρύφωνα, εἰ καὶ Ἀρίσταρχος ὀξύνειν ἀξιοῖ.] Παυσανίας δὲ εἰπὼν καὶ αὐτὸς ὅτι „δόχμη τὸ τετραδάκτυλον“ ἐπάγει Κύπριοι δὲ τὴν παλαιστὴν[2]). ἴσως δέ, φησιν,

---

135. [1]) Prima tantum verba extant ap. Zenob. III. 26. Hes. Suidas (= Apost. VI. 33). solus Pausaniae historiam αὐτολεξεὶ descripsit. Decurtata, sed ut nullum alium auctorem nisi atticistam agnoscere possis, in Zenobii codice C. redit.

[2]) Cf. Müller, Dorer I. 257 qui Ἀργείων scribi iubet: cui Leutsch ad Zen. l. l. adsentitur. Meier Opp. II. 95 recte eam opinionem reicit, cum, si Ἀργείων verum esset, mendum prioribus, non atticistis tribuendum sit.

[3]) Ad Aelium Dionysium refero cf. Prol. p. 12. Fontem Demonem esse Toepffer, Att. Geneal. p. 298. suspicatus est.

136. [1]) Utriusque atticistae doctrina sed nominibus omissis et inverso ordine recurrit ap. Eust. p. 896, 58. — ἕτερος δέ τις fuit Herodianus cf. I. p. 324, 13. Lentz. Aristarchi testimonium, num recte Aelio Dionysio tribuatur, incertum. Rindfleischii sententiae (p. 64.) non propter causam pro-

διὰ τὸ πλαγιάζειν τῇ χειρὶ ἐν τῷ μετρεῖν. δόχμιον γάρ τι πλάγιον[3]*· ὥστε οὗτος προϋπάρχειν βούλεται τῆς δόχμης τὸ δόχμιον.*

137. Eustath. p. 1065, 2. *ἐκ τοῦ πέμπω δυσπέμφελος κατὰ Παυσανίαν, τροπῇ τοῦ π εἰς φ, δυσάρεστος, χαλεπὸς, μεμψίμοιρος, οὗ χρῆσις παρ' Ἡσιόδῳ* (Theog. 440. Opp. 722) *καὶ παρὰ τῷ ποιητῇ*[1]). ib. p. 1084, 42. *ἰστέον δὲ ὅτι τὸ δυσπέμφελος ὀφεῖλον, ὥς που καὶ προεδηλώθη διὰ τοῦ π γράφεσθαι, ὅμως δοκεῖ τρέψαι αὐτὸ εἰς φ πρὸς διαστολὴν τοῦ πέμπελος*[2]) *ὃ γεροντικὴν ἡλικίαν δηλοῖ.*

137a. Schol. Plut. Mor. *περὶ δυσωπίας* pag. 528[1]). *οἱ περὶ Ἀττικῆς γράψαντες συνηθείας ἐπιλαμβάνονται τοῦ ὀνόματος τῆς δυσωπίας ὡς ἀδοκίμου. τὸ γὰρ δυσωπεῖσθαι οὐκ ἐπὶ τοῦ αἰδεῖσθαι, ἀλλ' ἐπὶ τοῦ ὑφορᾶσθαι καὶ δεδιέναι ἐκλαμβάνονται· καὶ Διονύσιος δὲ ἐν τῇ πενταβίβλῳ τῶν Ἀττικῶν ὀνομάτων τῆς πρώτης ἐκδόσεως (οὐ δύσερις*[2]*), φησὶν* [cod. *φησὶ*], *οὐκ ἐριστική) οὕτως φησὶν, ὅτι δυσωπεῖσθαι αὐτὸ αἰδεῖσθαι, ἀλλὰ τὸ μεθ' ὑπονοίας φοβεῖσθαι οἱ Ἀττικοὶ λέγουσιν.*

---

latam accedo, sed quod notitiam codicum meliorum non Herodiano aptam, sed atticistae propriam fuisse veri simile est.

[2]) Conv. Et. M. 285, 18. Hes. Schol. Ar. Eq. 318. Plura ap. Suid. Lex. Bachm. 201, 15.

[3]) Conv. Hes. Suid. Apollon. lex. hom. 60, 4. Bekk. Et. M. 285, 13. cf. lex. rhet. fr. 355.

137. [1]) Iam Zenodotum *δυσπέμφελον· δυσάρεστον* dixisse docet schol. Ven. A. *Π* 747. (Eustath. 1084, 39.) Pausaniae doctrina repetitur a Suid. Hes. s. v. *δυσπάμφαλος, δυσπέμφελος*. Et. M. 292, 34.

[2]) Fortasse atticistarum fuit., cf. Suid. Hes.

137a. [1]) Primus publici iuris fecit Maxim. Treu., Progr. gymn. Iauraviensis 1871 p. 10. — Accuratius de toto loco egit Usener in Jahrbb. vol. 140. p. 387. sq. — Plane atticista concinit cum Et. M. p. 292, 52., qui et ipse provocat ad lexicon rhetoricum (unde Heydeni Stud. Lips. VIII. p. 246 coniectura, lex. rhet. idem esse atque atticistam, stabilitur). Similia ap. Suid. gl. 1. (Altera gl. ex Harpocr. epitoma fluxit.) Hes. Tim. lex. Plat. Schol. Plat. Legg. p. 933 A. B. A. 234, 23. Mill. Mél. p. 400. Moer. p. 194, 22. Bekk. *δυσωπεῖσθαι ἀντὶ τοῦ φοβεῖσθαι Ἀττικοί, ὡς καὶ Πλάτων ἐν Φαίδρῳ. χρῶνται δ' αὐτῷ οἱ Ἕλληνες ἀντὶ τοῦ αἰδεῖσθαι.* cf. Schol. Plat. Phaedr. p. 242 A.

[2]) An Usener l. l. verba obscura recte explicaverit, (ex verbis lexico Dionysii praescriptis petita esse) vehementer dubito. Loco ea motas esse et glossam *δυσωπία* (cuius lemma ap. Suid. extat) explicasse credere malim.

138. Eustath. p. 1386, 47. κατὰ Παυσανίαν καὶ δωδεκίδες θυσίαι[1]) δώδεκα ἱερείων, περὶ οὗ εὑρήσεται ἀλλαχοῖ, ὅτι δωδεκῇδες σὺν τῷ ι γραπτέον. συνῄρηται γάρ, φασιν, ὡς τὸ Βρισηΐδος Βρισῇδος, Καδμηΐδος Καδμῇδος καὶ τὰ ὅμοια.

139. Eustath. p. 1760, 55. δῆλον δὲ, ὡς ἐκ ταύτης (sc. τῆς Δωδώνης) καὶ τὸ παροιμιακὸν Δωδωναῖον χαλκεῖον[1]), περὶ οὗ Παυσανίας φησὶν, ὅτι ἐν Δωδώνῃ πολλῶν παραλλήλων κειμένων λεβήτων, εἴ τις ἑνὸς ἅψεταί, φασιν, ἐκ διαδοχῆς πάντας ἠχεῖν. Ἀριστοτέλης[2]) δὲ δύο στύλους εἶναι λέγει, καὶ ἐπὶ μὲν θατέρου λέβητα ἑστάναι, ἐπὶ δὲ θατέρου παῖδα κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκέους ὄντας καὶ σειομένους ὑπ' ἀνέμου τῷ λέβητι προσκρούειν, τὸν δὲ τυπτόμενον ἠχεῖν.

140. Eustath. p. 975, 27. Αἴλιος γοῦν Διονύσιος δωριάζειν φησὶ τὸ παραφαίνειν καὶ παραγυμνοῦν πολύ τι τοῦ

---

138. [1]) Quo cum loco compone 1676, 40. ἐλέγετο καὶ δωδεκαῒς θυσία ἡ ἐκ δώδεκα ζῴων ἢ δ' αὐτὴ καὶ διὰ τοῦ η δωδεκηΐς, unde etiam observationem grammaticam Paus. deberi vides. Explicatio redit ap. Suid. et Hes. δωδεκάδες. Paullo fusiora ap. Hes. δωδεκηΐδες.

139. [1]) Simillima doctrina in codice Coislin. Zenobii, cf. Zenob. VI. 5. ed. Leutsch, sed ita comparata, ut nomen illius auctoris (Demonis) quem Paus. laudaverat, Eustath. autem φασὶ voce sola indicat, cognosci nequeat. Suid. (= Schol. Ven. B. Π 223.) Δωδωνεῖον χαλκεῖον. ἐπὶ τῶν μακρολογούντων. Δήμων γάρ φησιν, ὅτι τὸ τοῦ Διὸς μαντεῖον ἐν Δωδώνῃ λέβησι περιείληπται. τούτους δὲ ψαύειν ἀλλήλους καὶ κρουσθέντος τοῦ ἑνὸς ἠχεῖν ἐκ διαδοχῆς πάντας, ὡς διὰ πολλοῦ γίνεσθαι τῆς ἠχῆς τὴν περίοδον. Ἀριστοτέλης δὲ κτλ. κέχρηται δὲ τῇ παροιμίᾳ Μένανδρος ἐν Αὐλητρίδι (fr. 66. Kock). Unde Pausaniam et ipsum Demonem appellavisse apparet. Non igitur est, quod Aristotelis (?) locum atticistae abiudicemus. — Copiosissima doctrina ap. Steph. Byz. p. 249, 5, eodemque ordine procedens atque ap. Suidam, asservatur. Unde Lucillum Tarrhaeum Pausaniae fontem fuisse coniecerim. An Aristotelis nomen, (Aristidis restituendum est, cf. Preller, Polemon. p. 59) quod aperte falsum est, iam Pausanias falso descripserit et ex illius opere in Suidam et schol. Hom. irrepserit, dubium est. Doctrina eadem ap. Strabon. Epit. lib. VII. cf. vol. II. p. 73, 15. Kramer. — Proverbium iterum ap. Eustath. p. 335, 36, qui Stephani epitomen excerpsit, Zenob. VI. 5, qui paullo fusius egit, neque tamen ita, ut illius verba cum atticistae doctrina comparari possint. Diogen. VIII. 32. Apost. VI. 43. G. C. M. II. 81. Poll. VI. 120.

[2]) Doctrina Aristotelica, quae vocatur, redit in Cod. Pal. 129. cf. Philol. nov. ser. I. p. 196.

σώματος. αἱ γὰρ κατὰ Πελοπόννησόν, φησι, κόραι διημέρευον, ἄζωστοι καὶ ἀχίτωνες, ἱμάτιον μόνον ἐπὶ θατέρᾳ ἐπιπεπορπημέναι[1]) [*καὶ ὅρα ἐνταῦθα διαφορὰν ἱματίου καὶ χιτῶνος*]. *Παυσανίας δὲ καὶ αὐτὸς δωριάζειν φησὶ τὸ παραγυμνοῦσθαι. Δωρικὸν γάρ φησι τὸ παραφαίνειν τὸ σῶμα, διὰ τὸ μηδὲ ζώνας ἔχειν, τὸ πολὺ δὲ χιτῶνας φορεῖν, ἐν δὲ Σπάρτῃ καὶ τὰς κόρας γυμνὰς φαίνεσθαι*[2]). [*καὶ ὅρα ὡς ὁ Διονύσιος μὲν ἀπέφησε τῶν Δωριάδων τὸ χιτωνοφορεῖν, Παυσανίας δὲ χιτῶνας φορεῖν αὐτὰς ἔφη, πλὴν οὐκ ἀεὶ ἀλλ' ὡς ἐπὶ πολύ*].

E.

141. **Eustath.** p. 976, 10. *ἔστι δὲ ἡ λέξις αὕτη* (sc. *ἑανὸς*) *καὶ κασσιτέρῳ ἐπικειμένη. ὡς καὶ ἐν τοῖς ἑξῆς εὑρεθήσεται. λεχθήσεται γὰρ καὶ κασσίτερος ἑανός. φησὶ δέ τις ἐνταῦθα οὕτω. ἑανὸς κασσίτερος, ὁ εὐδιάχυτος καὶ ἐπιβόλαιον λιτὸν, ποτὲ δὲ λεπτὸν ὕφασμα*[1]). *Παυσανίας δὲ ὅτι ἑανὸς γυναικεία ἐσθὴς ποδήρης*[2]).

142. **Eustath.** p. 1825, 14. *ἰστέον δὲ ὅτι τοὺς δηλωθέντος χειροτέχνας ἔστιν εἰπεῖν εἶναι τοὺς τοῦ μύθου ἐγχειρογάστορας*[1]) *ὡς ἀπὸ χειρῶν βιοτεύοντας, καθὰ καὶ ἐγγλωττογάστορας παρὰ Αἰλίῳ Διονυσίῳ οἱ ἀπὸ γλώττης ζῶντες*[2]).

---

140. [1]) Conv. Et. M. 293, 40, qui sub f. addit: *καὶ παρεμφαίνουσαι πολὺ τοῦ σώματος. καθάπερ καὶ ἐν ἀρχαίοις ὕμνοις ἔστιν εὑρεῖν ἐν ὑπομνήματι Ἑκάβης* (*Εὐριπίδου* add. cod. Flor. Mill.) *οὕτως Ὧρος.* cf. Hes. Moer.

[2]) conv. Suid. cf. Poll. VII. 54. Herod. V. 87. Schol. Eur. Hec. 934. *καὶ δωριάζειν τὸ γυμνουμένας φαίνεσθαι τὰς γυναῖκας. Ἀνακρέων.* (fr. 59.) *ἐκδῦσα χιτῶνα δωριάζειν.* cf. Bergk. Lyr. III[4]. p. 271.

141. [1]) Quae doctrina redit ap. Hes. gl. 1. Et. M. 308, 16. Et. Gud. 155, 27. Apollon. lex. hom. 61, 26. Bekk. Schol. Hom. Σ 352. — De re ipsa agit Poll. VII. 51. neque tamen ita, ut ad communem fontem pervenire possis.

[2]) cf. Eustath. p. 1249, 32. *τινὲς μέντοι ταὐτὸ ἡγοῦνται πέπλον καὶ ἑανὸν εἰπεῖν, ὡς δηλοῖ καὶ ὁ γράψας, ὅτι πέπλοι, οὓς ἐπερονῶντο αἱ γυναῖκες μόναι, οἳ καὶ ἑανοὶ καλοῦνται.* cf. p. 1042, 9. 427, 18. 33. et 1146, 46. Poll. III. 37. — Quo ex fonte Et. M. 308, 13 Hes. gl. 2 hauserint, dubium est.

142. [1]) Totam doctrinam Suid. repetivit. — cf. Hes. Eustath. 1622, 54.

[2]) Alludit ad locum ap. Aristoph. Av. 1696. cf. Schol. ib. Et. M. 309, 51. — Aelii Dionysii explicationem iterum vides in catalogo quodam *πονηρῶν* ap. Eust. p. 1471, 4. sqq. servato, quem per Suetonium (cf. Cohn,

143. Eustath. p. 1282, 54. *Παυσανίας δὲ ἱστορεῖ, ὅτι παιδιά τις ἦν καλουμένη ἐγκοτύλη, ἐν ᾗ διαπλέξας τις ὀπίσω καθὰ καὶ προδεδήλωται* (p. 550, 3) *τοὺς δακτύλους τῶν χειρῶν ἐπενωτίζετο τὸν ἀναιρούμενον* (*ἀναιρόμενον* ?)· *ὁ δ' ἐνθεὶς τὸ γόνυ ταῖς χερσὶ καὶ περιλαβὼν τοῦ αἴροντος τὴν κεφαλὴν ἢ τὸν τράχηλον ἐβαστάζετο*[1]). *ἐκλήθη δέ, φησιν, ἐγκοτύλη, ἐπεὶ τὸ κοῖλον τῆς χειρὸς κοτύλη*[2]) *λέγεται, εἰς ὃ κοῖλον ἐνετίθει τὸ γόνυ ὁ βασταζόμενος.*

144. Eustath. p. 976, 12. *ἰστέον δὲ ὅτι καθάπερ ὁ ἑανὸς οὕτω καὶ τὸ ἔκκυκλον ἢ ἔγκυκλον, οὗ καὶ ὁ κωμικὸς μέμνηται, γυναικεῖον ἦν ποτε φόρημα. φησὶ γοῦν Παυσανίας, ὅτι ἔγκυκλον*[1]) *περιπόρφυρον ἱμάτιον καὶ χιτὼν γυναικεῖος, ὃν ἔνδοθεν ἐνδύονται αἱ γυναῖκες, εἶτα τὸ ἔνδυμα. λέγεται δέ, φησιν, ὑπ' ἐνίων ἐπιγονατὶς*[2]) *διότι μέχρι γονάτων διήκει.*

145. Eustath. p. 1231, 35. *φησὶ γοῦν καὶ Αἴλιος Διονύσιος, ὅτι ἔγχελυς*[1]) *τὸ ἑνικὸν, ἐγχέλεις δὲ τὸ πληθυντικὸν καὶ ἐγχέλεων καὶ ἐγχέλεσιν. ἐγχέλεια*[2]) *δὲ τὰ τεμάχη, φησὶ,*

Jahrbb. Suppl. XII. p. 374) Mill. Mél. p. 421 ex Aristophane Byzantio ad nos pervenisse constat, (Nauck Ar. Byz. p. 175 nondum pro certo affirmare ausus est, cum copiae codicis Athoi adhuc eum deficerent) Iterum igitur Aristophanem fontem atticistarum fuisse intellegitur cf. Prol. p. 54.

143. [1]) Conv. Zenob. III. 60. cf. quae Cohn. Neue Jahrbb. Suppl. XII. p. 377. sqqu. docte exposuit.

[2]) cf. fr. 404. et locos in not. 2. allatos.

144. [1]) Arte cum fr. 141 cohaerent. Doctrina atticistae misere corrupta extat ap. Suid. Schol. Ar. Lys. 113. Thesmoph. 261. Eccles. 533. cf. Poll. VII. 53.

[2]) Nusquam nisi ap. Et. Magn. 358, 24. *ἐπιγονατίς· τὸ πρὸ τοῦ γόνατος ἄνωθεν σαρκῶδες τοῦ μηροῦ. ἔνιοι διὰ τὴν ἐπωμίδα διὰ τὸ ἐπὶ γόνατος κεῖσθαι. ἢ χιτὼν ἀνάκολος γυναικεῖος, ὃν ἔνδοθεν ἐπενδύονται.* [*ὡς εὗρον εἰς τὸ ῥητ.* in cod. Flor. cf. Heyden. p. 257]. Vox restituenda in Et. Gud. 199, 8. pro corrupta *ἐπιγονατής*.

145. [1]) Ex Athen. VII. 299 A. Tryphonis doctrinam hic repeti perspicuum est cf. Nab. p. 76. et Prol. p. 72. Athenaei locus redit ap. Eust. 1240, 17. ubi *Ἱππεῦσι* pro *ὑπτεῦσι* corrigas (v. 860.) Eadem Poll. VI. 50.

[2]) cf. Ath. III. 87 F. 96 B. Fortasse ex nostro Phryn. ap. B. A. 65, 3. *τεμάχη μόνον ἐπὶ ἰχθύων*, (= Phryn. Lob. p. 21). *τόμους δὲ ἐπὶ κρεῶν καὶ † ἐχελίδας* corrigendus. Aliunde sua habet Schol. Ar. Ach. 889 (= Suid.).

τῶν ἐγχέλεων. τὰς δὲ ἐγχέλεις φασὶν οἱ παλαιοὶ[3]) ζῆν εἰς ἑπτὰ ἔτη καὶ ὀκτὼ καὶ ἀλληλοφαγεῖν.

146. Eustath. p. 1450, 33. ἀπὸ δὲ τοῦ χροὺς[1]) καὶ ἡ ἐν χρῷ κουρὰ[2]) ἡ ψιλὴ κατὰ Αἴλιον Διονύσιον καὶ πρὸς τὸν χρῶτα. καὶ ἐν χρῷ δὲ κουρίας[3]) ὁ οὕτω κειρόμενος καὶ πλοῦς ἐν χρῷ[4]) ὁ γῆς ἐγγύς. Θουκυδίδης ἐν χρῷ παραπλεῦσαι τὰς ναῦς. ἀπ' αὐτοῦ δὲ καὶ τὸ χρίμπτω καὶ τὸ χρίω. ἔτι δὲ καὶ τὸ ἐγχρίω, τουτέστι παίω, ὅθεν ἐγχρίσαι[5]) κατὰ τὸν αὐτὸν Διονύσιον τὸν [l. τὸ] παῖσαι κέντρῳ σκορπίον ἢ σφῆκα ἤ τι τοιοῦτον.

147. Eustath. p. 1403, 40. ἐκ τοῦ αὐτοῦ δὲ ῥήματος (sc. ἔδειν) καὶ ὁ παρ' Αἰλίῳ Διονυσίῳ ἐδέατρος[1]), περὶ οὗ λέγει ἐκεῖνος, ὅτι τὸ μὲν ὄνομα Ἑλληνικόν, ἡ δὲ χρεία Περσική. ἦν δέ, φησι, προγεύστης προεσθίων τοῦ βασιλέως εἰς

---

[3]) An *χρῆσις* fuerit antiqua, dubium est. Attuli, quod neque ap. Ath. (cf. l. l. p. 298. C) neque apud veteres de hist. anim. agentes simile quicquam indagari potuit.

146. [1]) cf. fr. 230, not. 3. *σκαφίον*. Conv. Et. M. 313, 55, sed ita, ut *ἐν χρῷ παραπλεῦσαι* et locus Thucyd. in omnibus mss. deficiat praeter Florentinum (cf. Mill. Mél. p. 98) et tertia glossa *ἐν χρῷ κεκαρμένος* adhibeatur, quae redit ap. Suid. Lex. Bachm. 223, 4. Poll. II. 33.

[2]) Conv. Hes.

[3]) Cf. Phryn. Lob. p. 60. Poll. II. 33, qui ex Pherecratis Fugitivis vocem laudat.

[4]) Schol. Thuc. II. 84 = Suid. *ἐν χρῷ παραπλεῦσαι*, quod atticistarum esse censeo, cum *εἶδος κουρᾶς* ad Thucydidis locum minime aptum afferatur, cf. Stud. Lips. IV. p. 101.

[5]) Conv. Hes. Ex B. A. 46, 17. *κεχρίσθαι σκορπίῳ. ἀντὶ τοῦ πεπληγέναι ὑπὸ σκορπίου καὶ σὺν τῇ προθέσει ἐγκεχρίσθαι* Dionysium *σκορπίον* vocem non obiectivo sed subiectivo sensu adhibuisse perspicuum est.

147. [1]) Totum locum verbotenus praebet Suid. et Et. M. 315, 37, qui sub finem adicit: *οὕτως εὗρον εἰς τὸ πρῶτον λεξικόν. ἐν δὲ τῷ δευτέρῳ εὗρον οὕτως· ἐδέατρος ὁ ἐπὶ τῶν διδύμων* (Sylb. corr. *ἐδωδίμων*) *καὶ τῆς τοιαύτης παρασκευῆς. ῥητορική.* cf. Heyden p. 208., qui Pausaniam altero loco adhibitum esse putat. Breviora Hes. Ammon. p. 48. Valck. (cf. Eust. 1766, 43. 1874, 32. 773, 40). Fontem cognosces fuisse Pamphilum ex Ath. IV. 171. B. (cf. Naber. Prol. p. 21.), qui ipse Artemidori Aristophanei glossas exscripsit, cf. Valck. Adn. p. 73. Prol. p. 66. Verba, quae, vocula *φησὶ* seductus, ipsius Aelii putaveris, *χρῆσιν* Artemidori exhibent, quae per Pamphilum et Dionysium ad Eustathium transmigravit.

ἀσφάλειαν. ὕστερον δὲ ἐνομίσθη ἐδέατρον καλεῖν τὸν ἐπιστάτην τῆς ὅλης διακονίας καὶ παρασκευῆς.

148. Eustath. p. 872, 61. ὅτι δὲ ἕδος[1]) λέγεται καὶ τὸ ἵδρυμα καὶ ἄγαλμα, ὁ Παυσανίας φησίν.

149. Eustath. p. 1403, 31. οὕτω καὶ ἔδω βαρύτονον ἀφ᾽ οὗ ἡ ἐδωδή. καὶ ἐδῶ περισπώμενον, οὗ ὁ μέλλων οὐ μόνον ἐδήσω τὸ παράγον τὴν ἐδητὺν, ἀλλὰ καὶ ἐδέσω, ἀφ᾽ οὗ τὸ ἔδεσμα[1]). Παυσανίας δὲ παράγει καὶ χρήσεις τοιαύτας· Πλάτων (fr. 138. Kock) Σοφιστῇ

ἐν τρισὶ πληγαῖς ἀπηδέσθη τὸ ῥάμφος,

καὶ ἐν Ἑορταῖς (fr. 35. Kock)

κατηδέσθημεν ἂν καὶ κατεκόπημεν εὐθύς.

150. Eustath. p. 800, 27. σημείωσαι δὲ ὅτι τὸ ἐθέλω[1]). καθὰ καὶ ἀλλαχοῦ ἐφάνη[2]), οὐ μόνον παρὰ τῷ ποιητῇ τρισυλλάβως προφέρεται ἀεὶ, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις τὸ πλέον μετὰ τοῦ ε, ὡς καὶ Αἴλιος Διονύσιος παρασημειοῦται, ὅθεν, φησὶ, καὶ ἐθελοντὴς[3]), ὁ αὐθαιρέτως τι ποιῶν. ἐκαλοῦντο δὲ καὶ ἐθελονταὶ διδάσκαλοι, δραμάτων δηλαδὴ, ὅτε τις μὴ λαβὼν χορὸν μηδὲ χορηγητὴν ἔχων ἑαυτῷ τὰ πάντα παρεῖχε.

151. Eustath. p. 1158, 20. ἰστέον δὲ ὅτι ὁ Ὁμηρικὸς ἴστωρ καὶ ἰδύος[1]) ἐλέγετο παρὰ τοῖς παλαιοῖς ἐν διφορουμένῃ γραφῇ. Παυσανίας γοῦν, ἐν οἷς ἔγραψε κατὰ στοιχεῖον, ἐν μὲν τῷ ε στοιχείῳ γράφει. „εἰδύοι μάρτυρες". ἐν δὲ τῷ ι „ἰδύους· μάρτυρας συνίστορας"[2]). δῆλον δὲ ὅτι συνίστωρ σύστοιχόν ἐστι τῷ ἴστορι. εἰ δὲ διφορεῖ τὴν γραφὴν καὶ αὐτὸς,

---

148. [1]) cf. Tim. lex. Plat. ἕδος. τὸ ἄγαλμα καὶ ὁ τόπος, ἐν ᾧ ἵδρυται. Et. M. 316, 57. Et. Gud. p. 160, 42. Plura ap. Hes. et Suid. (= Lex. Bachm. 207, 6), Lex. Bachm. 206, 12. B. A. 246, 3. Similia ap. Eust. p. 146. 2. 155, 20.

149. [1]) cf. fr. 147. et 205, quae arte cum nostro cohaerent. Eadem docet Eust. p. 137, 2. cf. Et. M. 315, 33. 316, 31. Et. Gud. 160, 21. 27.

150. [1]) Lob. Phryn. p. 4. sqq. Et. M. 318, 18. Fortasse hoc loco atticista iterum Tryphonem sequitur.

[2]) Etiam proxima adiungenda sunt, quod Hes. τοὺς βουλομένους ἢ χορηγούς. exhibet: quae glossa ap. Suid. ἐθελοντής. βουλόμενος, † χωρητός corrupta extat et inde corrigenda est.

[3]) ad rem vide Athen. XIV. 621. cf. Eust. 884, 24.

151. [1]) Pausaniae doctrina recurrit ap. Eust. p. 1154, 35. — p. 1570, 40. οἱ παλαιοὶ vocem protulisse traduntur.

[2]) conv. Hes. —

καινὸν οὐδέν. ὅτι δὲ ἰδύους καὶ Δράκων καὶ Σόλων[3]) τοὺς μάρτυράς φησιν, Αἴλιος Διονύσιος ἱστορεῖ.

152. Eustath. p. 1413, 37. Αἴλιος δὲ[1]) Διονύσιος καὶ τοῦ ἰθύφαλλος τὴν ἀρχὴν διὰ διφθόγγου γράφει, ὃ δηλοῖ, φησιν, αἰδοῖον ἐκτεταμένον καὶ ᾆσμα Διονυσιακὸν Ἀθήνησι καὶ ἑταιρικὸν δέ, τουτέστι φίλον ταῖς ἑταιρίσιν, αἳ καὶ ἀνασεισίφαλλοι[2]) φερωνύμως λέγονται παρὰ τῇ κωμῳδίᾳ, ὡς ἀνασείουσαί, φησι, τὸν φάλητα, ὅς ἐστιν αἰδοῖον ἀνδρός. Παυσανίας δὲ διὰ διφθόγγου γράφων καὶ αὐτός φησιν, ὅτι εἰθύφαλλος αἰδοῖον. καὶ ὁ πρόχειρος εἰς συνουσίαν, καὶ ᾠδὴ ὑπόκενος.

153. Eustath. p. 1417, 30. καὶ ἐν συνθέσει ποτὲ μὲν φυλάττει τὸ ι ⟨εἴκοσι⟩, ποτὲ δὲ αὐτὸ εἰς ᾱ τρέπει, οἷον εἰκοσιστάδιον καὶ εἰκοσαστάδιον Αἴλιος Διονύσιος[1]) λέγει. οὕτω δέ φησι καὶ τὸ πέντε ἐν συνθέσει φυλάττον τὸ ε̄. οἷον πεντέπηχυ[2]) πεντέκλινον, πεντέχαλκον, πεντέμηνον, πεντεσύριγγον ξύλον, ὅμως παρ' ἑτέροις διὰ τοῦ ᾱ λέγεται πεντάπηχυ καὶ τὰ λοιπὰ ὁμοίως.

154. Eustath. p. 1394, 41. Παυσανίας δὲ λέγει καὶ γυναῖκας εἰλίποδας[1]) διὰ τὴν ἔνδεσιν τῶν μηρῶν.

---

[3]) Aliam formam ἰδυῖοι paullo ante praebet, cf. Seidler. ad Ar. Daetal. fr. 1.

152. [1]) Praecedit fr. 397. Cum Dionysii doctrina concinit Harp. (cuius epitome ap. Phot. gl. 2.) Hes. s. v. εἰθύφαλλοι Et. Flor. ap. Mill. Mél. p. 166. — Corrupta sunt ap. Phot. gl. 1 (= Hes. ἰθύφαλλος), quem locum Suid. infeliciter sanare conatus est. — Aliena, sed ut ad simillimum fontem reducere possis, ap. Mill. Mél. p. 100. (= B A. 246, 19.), ubi lexicogr. add. εὗρον τὴν λέξιν ἐν τῷ ῥητορικῷ λεξικῷ. Heyden. p. 256. ad att. refert.

[2]) Ex scortorum catalogo petitum (cf. Prol. p. 53.), quem lacerum habes ap. Mill. Mél. p. 414. Eundem repetit Eust. 1329, 33. 1088, 37. nonnullis vocibus auctum 1921, 58. ita, ut ad lex. rhet. fragmentum 406. eadem adiungat. cf. Bergk. Poet. Lyr. II[4]. p. 494.

153. [1]) Atticistae doctrina recurrit p. 1273, 33., ubi ὁ γράψας laudatur. Eum ipsum grammaticorum scrinia adiisse apparet ex Et. M. 346, 14. 767, 19., cf. Herod. ed. Lentz II. p. 222, 13. 241, 11.

[2]) cf. Phot. s. v. πεντέπηχυ et πεντεσυρίγγῳ ξύλῳ (= Hes.) Schol. Ar. Eq. 1049 (= Suid.) Moer. 207, 34. Bekk. Phryn. Lob. p. 412. Prol. p. 25.

154. [1]) Similia Hes., qui Anacreontem testem laudat (Bergk. Poet. Lyr. III[4]. p. 294). Comicorum propriam vocem fuisse constat ex Ath. VII.

155. **Eustath.** p. 947, 6. *ἰλλάδες*[1]) *δέ φασι κατ' Ἴωνας δεσμοὶ ἐξ ἱμάντων ἢ λύγων ἀπὸ τοῦ εἴλλω, ἢ ἴλλω· „τὸ συστρέφω", ὡς ἐν εἴδει στρεβλώσεως*[2]). *λέγεται γὰρ καὶ ἐπὶ τοιαύτης σημασίας τὸ ειλεῖν, ὡς δηλοῖ καὶ ὁ Παυσανίας εἰπών· εἰλάειν* (l. *εἴλλειν*)[3])· *στρεβλοῦν, πιέζειν. μάλιστα δὲ ἐπὶ ὑγρῶν οἰκεία ἡ λέξις, οἷον σταφυλῶν [κατ' αὐτὸν] ἢ ἐλαιῶν. καὶ εἰλεῖν*[4]) *τὸ συνάγειν, φησίν, εἰς ταὐτὸ σταφυλάς. ἕτερος δὲ τεχνικός φησιν· εἰλεῖν· ἐκπιέζειν ἐλαίας ἢ στέμφυλα.*

156. **Eustath.** p. 1435, 62. *τὸ δὲ ἔειπες ἔχει τις γράψαι καὶ ἔειπας. φησὶ γὰρ Αἴλιος Διονύσιος*[1]), *ὅτι εἶπον καὶ εἶπα ἀμφότερα παρὰ Ἀττικοῖς, μᾶλλον δὲ τὸ πρότερον. καὶ τὰ προστακτικὰ δὲ εἰπὲ καὶ † εἰπὸν ὀξυτόνως †*[2]). *καὶ αἱ μετοχαὶ ὁ εἰπὼν καὶ ὁ εἴπας*[3]). *ἰστέον δὲ ὅτι καθάπερ εἶπον*

286.E. IX. 400.C (= Eust. 1534, 15). — Ex Suetonii scortorum catalogo desumptum est, cf. Eust. p. 1922, 1. Suid. s. v. *μυσάχνη* Prol. p. 53.

τιωτικὸν σύστημα — ἀλλὰ καὶ ὁ ἀράχνης. [παρὰ τοῖς ὕστερον οὐ μόνον ὁ μείζων, ἀλλὰ καὶ ὁ ὑποκοριζόμενος εἰς φαλάγγιον, ὡς δηλοῖ Ξενοφῶν ἐν τοῖς κατ' αὐτὸν ὑπομνημονεύμασιν (I. 3, 12.)]. *τῆς δὲ τοιαύτης φάλαγγος συχναὶ μὲν αἱ χρήσεις. Αἴλιος δὲ Διονύσιος παράγει τοιαύτην ἐκ τοῦ κωμικοῦ Πλάτωνος* (*Ἑλλάδι* fr. 22. Kock.)[2])

εἴξασιν ἡμῖν οἱ νόμοι τούτοισι τοῖσι λεπτοῖς
ἀραχνίοις, ἃν τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνει.

τὴν[3]) *δὲ ἔννοιαν πλείους εἰς τὸν Σκύθην ἀνάγουσιν Ἀνάχαρσιν.*

316. Schol. Hom. Il. *O.* 705 (Ven. A.) *σχόλιον* (ad *ὠκυάλου*) *ἐπιθετικὸν γὰρ ὂν δασύνεσθαι ὤφειλεν. ἀλλὰ τοῦτο, εἰ σύνθετον ἦν, ἐγένετο ἄν. νῦν δὲ, ὡς ἐν τοῖς ἄνω εἶπεν, παραγωγὴν ἔλαβε τῆς αλος κατὰ παρολκὴν κειμένης. Διονύσιος δὲ ὁ Ἁλικαρνασσεὺς ἐν τετάρτῳ Ἀττικῶν ὀνομάτων οὕτως ἔφη· φίλιππος*[1]) *μὲν τῆς μέσης δασυνομένης τὸ προσηγορικόν. οὕτως γὰρ καὶ ἐν Τηρεῖ Σοφοκλέους* (fr. 523. Nauck) *ἀναγιγνώσκομεν·*

ἥλιε φιλίπποις Θρῃξὶ πρέσβιστον σέλας.

Φίλιππος δὲ ψιλῶς ὁ Μακεδών. καὶ ὠκύαλος μὲν δασέως ἡ ναῦς, ψιλῶς δὲ ὁ ἀνήρ.

ὦρτο μὲν Ἀκρόνεώς τε καὶ Ὠκύαλος (*ϑ* 111)

ἐναντίως δὲ ὁ Ἡρωδιανός[2]).

317. Eustath. ad Diog. Perieg. p. 912. *Αἴλιος δὲ Διο-*

---

gl. 5., cf. Aristot. H. A. I. 15. Poll. II. 145.). *ἔνιοι καὶ τὸ στρογγύλον ξύλον. καὶ σύμμετρον φαλάγγιον λέγεται καὶ τοῦ ζυγοῦ ὁ κανὼν φάλαγξ καὶ ἐπὶ τῆς νεὼς ἡ διαβάθρα. καὶ ὁ ἀράχνης δὲ, ὃν ἔνιοι φαλάγγιον.* (ap. Et. M. sequ. *ϑηλ. ὁ ἀρ. Πλ. Ἑλ.*) *καὶ οἱ κόρακες δὲ παρ' Ἀττικοῖς φαλάγγια.* Quae ex *παλαιῶν* doctrina repetuntur ap. Eust. p. 469, 15., cf. p. 140, 9. 285, 42.

[2]) Eust. habet: *ἐοίκασιν ἡμῖν οἱ νόμοι τοῖσι λεπτοῖς ἀραχνίοις, ἃ τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνει.* Cobeti (Plat. Com. 195.) tetrametri magis placuerunt quam trimetri, quos Kockius agnoscere sibi visus est.

[3]) Omittere nolui, quod ad Platonis locum explicandum addita videntur, et minime ad ceteram Eustath. disputationem quadrant.

316. [1]) Cf. Eustath. p. 980, 34.

[2]) Herod. II. p. 48, 11. Lentz. (Schol. Ven. A. ad *E* 76). Herodiani locum supra allatum apud Lentz. desidero. — Fortasse Dionysius Tryphonem sequitur, qui de spiritu intercalari egit, cf. Athen. IX. p. 397E. Prol. p. 70.

νύσιος ἐν τοῖς περὶ Ἀττικῶν λέξεων ὑπογράφει σαφέστερον τὴν τοῦ φυτοῦ φύσιν, τῆς βύβλου, ἔνθα περὶ φιλύρας φησίν, ὅτι φυτὸν ἡ φιλύρα[1]), φλοιὸν ἔχον βύβλου, παπύρῳ ὅμοιον, ἐξ οὗ τοὺς στεφάνους πλέκουσιν.

318. Eustath. p. 1757, 54. ἰστέον δὲ ὅτι περίκλυτον γένος οἱ Φοίνικες, ἐξ ὧν Φοινίκια γράμματα[1]), ἐπεί, φασι, δοκεῖ Κάδμος ἀπὸ Φοινίκης αὐτὰ κομίσαι. δηλοῖ δ' αὐτὸ καὶ ὁ γράψας, ὅτι Φοίνικες εὗρον γράμματ' ἀλεξίλογα, περὶ ὧν ἐν τοῖς ἑξῆς ῥηθήσεται. καὶ ψεῦδος δὲ Φοινικικὸν[2]) ἀπὸ τῶν κατὰ τὸν Κάδμον τὸν Φοίνικα καὶ τὸν δράκοντα καὶ τοὺς Σπαρτοὺς μυθικῶς λεγομένων, ὥς φησι Παυσανίας, ἵνα ᾖ Φοινικικὸν ψεῦδος τὸ τερατῶδες.

319. Eustath. p. 1452, 16. καὶ φορμὸς ὁ κόφινος καὶ φορμίσκος[1]) κατὰ Παυσανίαν λεπτόν (l. πλεκτόν) τι ἀγγεῖον. ἕτεροι δέ φασιν οὕτω· ἐκ τοῦ φέρω φορμὸς[2]) ἤγουν πλέγμα, σπυρίς, ἐν ᾧ καὶ σῦκα ἔφερον.

320. Eustath. p. 239, 30. καὶ ὁ παρὰ τοῖς Ἀττικοῖς φράτωρ[1]) καὶ φράτριον τόπος, ἐν ᾧ οἱ τῆς αὐτῆς φρατρίας συνήγοντο. καὶ ταῦτα μὲν ἐκ φρατρίας. ἀπὸ δέ γε φατρίας φατριάζειν Ἀττικῶς τὸ εἰς τὸ αὐτὸ συνιέναι. Αἴλιος δὲ Διονύσιος ἐν τῷ κατ' αὐτὸν ῥητορικῷ λεξικῷ φησι· φατρία[2]),

---

317. [1]) Conv. Phot. Lex. Bachm. 406, 28. Et. M. 795, 4. Cf. fr. 367.

318. [1]) Vid. Hes. φοινικίοις γράμμασι.

[2]) Conv. Phot. Suid. Schol. Plat. Rep. 414 C. Similia Diogen. VIII. 67. Cf. Cohn, Jahrbb. XIII. p. 810. Giesing. p. 26, 34.

319. [1]) Congruunt Suid. φορμίσκοι (glossa φορμός ex utroque lexico conglutinata videtur). Lex. Bachm. 408, 25. (ubi glossa Aeschinea appicta est, cf. schol. Aesch. III. 166) Et. M. 798, 51. Hes. Schol. Herod. II. p. 470. Stein. Schol. Plat. Lys. 206 E. Tim. lex. plat. s. v. φορμίσκος Ar. Plut. 542. Ar. Vesp. 58. Cf. Poll. X. 169.

[2]) Cf. Freyer, Stud. Lips. V. p. 281. — Glossae, ut posteriorum mos fuit, saepissime ita traditae sunt, ut vix dignoscas, utri auctori debeantur.

320. [1]) Contra Meierum non dubitandum est, quin forma φάτρια et similia servanda sit, cf. Meisterhans, p. 63. no. 4. — Allata doctrina recurrit ap. Eust. p. 707, 52. κατὰ τὴν ἱστορίαν, cf. Steph. Byz. p. 674, 3. Mein., quibus ex locis inter se comparatis, hunc locum ad ἕτερον ὅμοιον λ. pertinere concludo. Cf. Et. M. 799, 28. Fortasse huc redit Suid. gl. 3. B. A. 313, 27. Schol. Ar. Eq. 255. Cf. Schol. Ar. Ran. 418. B. A. 315, 21.

[2]) Certa fragmenta ad A. D. reduci nequeunt, cum Eust. ex more

ἣν Ἴωνες πατρίαν· καὶ ὅτι φράτορες οἱ τῆς αὐτῆς φατρίας. οἱ δὲ ἀρχαῖοι φρατέρας φασὶ διὰ τοῦ ε̄. οὔ, φησιν, ἡ ὀρθὴ φράτηρ[3]) — ἐν ἑτέρῳ δὲ ὁμοίῳ λεξικῷ φέρεται, ὅτι φράτηρ[3]) Ἀττικοί φασιν. Ἴωνες δὲ διὰ τοῦ ω̄. οἱ δ' αὐτοὶ καὶ φρήτρην, ὃ καὶ φρατρία[4]) λέγεται, ὅθεν φρατρίζειν[5]) τὸ εἰς φρατρίαν συνιέναι. — ἀλλαχοῦ δὲ[6]), ὅτι τεσσάρων οὐσῶν ποτε φυλῶν Ἀθήνησι πρὸς μίμησιν τῶν τοῦ ἐνιαυτοῦ ὡρῶν εἰς τρία ἑκάστην διεῖλον μέρη, ἤγουν εἰς φατρίας, ὅ ἐστι τριττῦς δώδεκα καθ' ὁμοιότητα τῶν μηνῶν. ἑκάστην δὲ φατρίαν εἰς γένη τριάκοντα, καθάπερ οἱ δημόται καὶ οἱ φράτορες, ἤδη δὲ καὶ οἱ πολῖται καὶ οἱ θιασῶται καὶ οἱ φυλέται καὶ οἱ λοχῖται καὶ οἱ ἐθνῖται καὶ οἱ δαιταλεῖς. ἔχει δέ, φησι, τὸ μὲν γένος ἄνδρας τριάκοντα, ἑκάστη δὲ φατρία, εἶτουν τριττύς, γένη τριάκοντα.

321. Boisson. Anecd. Gr. I. p. 411. ἐν τῷ περὶ λέξεων Διονυσίου φύσκη[1]) τὸ παχὺ ἔντερον, ὃ λέγουσιν οἱ ἰδιῶται φύσκαν.

X.

322. Eustath. p. 999, 22. περὶ δὲ τοῦ χαμᾶζε[1]) λέγει

---

explicationes omiserit. Vix dubium est, quin plerumque cum altero lexicographo consenserit.

3) Forma tuenda est, cf. Cram. An. Oxon. I. 346. Meisterhans. p. 103. not. 966. — Cf. Eustath. p. 707, 55.

4) Phot. Hes. Lex, Bachm. 404, 14.

5) Cf. B. A. 115, 29. Fortasse ea, quae ap. Suid. gl. 3. B. A. 313, 27. traduntur de φράτορες, φρατορία, φρατορίαρχος, omnia ex hoc lexico anonymo fluxerunt: nexus quidem artior inter illas glossas statuendus est, cf. Harp. s. v. φρατέρες Poll. III. 51. VIII. 107.

6) Aristotelis verba sunt, cf. Schol. Dem. Patm. in. Bull. de corr. hellén. I. p. 152 (Ar. fr. ed. Rose p. 262): quae scholia iam Riemannus potius lexici cuiusdam rhetorici fragmentum esse docuit (ibid. p. 191). Suid. s. v. φατρία. Harp. τριττύς. Schol. Aesch. III. 30. — Eodem scholio facile adducimur, ut etiam Phot. glossas praeclarissimas ὀργεῶνες 1., τριττύς (cf. Schol. Plat. 416B γεννῆται) ad atticistas reducamus.

321. 1) Conv. Et. M. 502, 56. Orion. p. 161, 5. Schol. Ar. Eq. 364. Suid. Cf. Hes. Poll. VI. 56. Vox fuit imprimis attica, cf. Luc. Lexiph. cap. 3. Non est, cur cum Rindfl. p. 113 de Dionysio atticista auctore dubites.

322. 1) Conv. Herod. I. 499, 14. 536, 18. II. 14, 17. 38, 34. 951, 20. (π. α. λ.) Lentz. Apollon. de adv. 194, 20. ed. Schneider.

καὶ Αἴλιος Διονύσιος, ὡς ἀεὶ περισπᾶται, τὸ δὲ χαμᾶθεν[2]) ως ἐπὶ πλεῖστον.

323. Eustath. p. 772, 63. ὅτι δὲ ἡ χλόη καὶ χειλὸς ἐλέγετο, δηλοῖ Αἴλιος Διονύσιος εἰπών· χειλὸς[1])· πόα, χόρτος. παρ' αὐτῷ δὲ καὶ διὰ διφθόγγου γράφεται ὁ τοιοῦτος χιλὸς, ὡς ἡ αὐτοῦ στοιχειακὴ ἀκολουθία βούλεται. δηλοῖ δὲ τοιαύτην χιλοῦ ἔννοιαν καὶ τὸ ἐκχιλοῦσθαι. φησὶ γοῦν Παυσανίας, ὅτι ἐκκεχιλωμένη[2]) ἐψευσμένη, ἐξημελημένη, κεχερσωμένη· ἐπεὶ ὁ χιλός[3]), φησιν, ἐν χέρσῳ φύεται. τοῦτο δέ ἐστι χόρτος.

324. Eustath. p. 858, 41. Αἴλιος Διονύσιος συντόμως οὕτω φησίν· χειμάρρους[1]) τρῆμα νεώς, ἢ θηλυκῶς τρήμη, ὡς πλήμη, ὅθεν ἡ ἀντλία ἐκρεῖ.

325. Eustath. p. 1166, 51. σημείωσαι δὲ ὅτι περὶ χιτώνων καὶ τοιαῦτά φασιν οἱ παλαιοί. χιτὼν[1]) ὁ ζωστὸς καὶ γυναικεῖος. ὁ δ' ἀνδρεῖος χιτωνίσκος[2]), ὃ τινες ἐπενδύτην, τὸ δὲ βραχὺ χιτωνισκάριον. χιτώνιον δὲ καὶ χιτωνάριον λεπτὸν ἔνδυμα γυναικεῖον πολυτελές· Μένανδρος (fr. 77. Kock)·

λελουμένη γὰρ ἡ 'ταίρα (ἡτέρα Bentl.) καὶ διαφανὲς
χιτωνάριον ἔχουσα

Ἀριστοφάνης (fr. 632. Kock)·

ἐνδὺς τὸ γυναικεῖον τοδὶ χιτώνιον.

ταῦτα Αἴλιος Διονύσιος, παρ' ᾧ καὶ ὅτι χορταῖος[3])· ὁ δασὺς καὶ μαλλωτὸς χιτών. καὶ πάλιν· χορταῖος[4]) χιτὼν ποδήρης, ἔχων χειρίδας. ἀλλαχοῦ δὲ ὅτι χιτῶνος εἶδος καὶ ἡ ἐξωμίς[5]). ἐξωμὶς γάρ, φησι, χιτὼν ἅμα καὶ ἱμάτιον τὸ αὐτό. ἄλλος

[2]) Cf. Moer. 213, 12. Lob. Phryn. p. 94. Apollon. de adv. p. 187, 7. ed. Schneider. Ar. Vesp. 249. Eustath. p. 377, 3.

323. [1]) Cf. fr. 397. Prol. p. 9. sq., cf. Hes. χειλός.

[2]) Conv. Suid. Et. M. 322, 14., cf. Hes.

[3]) Fortasse huc revocanda, quae in lexicis s. v. χειλός traduntur. Hes. Lex. Bachm. 415, 25. Et. M. 811, 47. Schol. Nic. Ther. 568., cf. Eust. p. 14, 20. 15, 11.

324. [1]) Nusquam vox recurrit. De forma cf. Phryn. Lob. p. 234. 669.

325. [1]) Ab episcopo χιτών mire ad feminam refertur: suspicio oritur, an locus corruptus sit.

[2]) Cf. Ammon. p. 141. Valck. Moer. p. 213, 27., cf. Suid. Lex. Bachm. 415, 27. Et. M. 812, 15.

[3]) Conv. Suid. Cf. Poll. IV. 118. VII. 60. Hes.

[4]) Ex altera Dionysii recensione fluxisse apparet.

[5]) Cf. Hes. Suid. Et. M. 349, 43. (glossa rhetorica, cf. Heyden p. 227).

δέ τις ἱστορεῖ καὶ ὀρθοσταδίους χιτῶνας, λέγων, ὅτι ὀρθοστάδιοι[6]), μὲν οἱ στατοί, συρτοὶ δὲ οἱ συρόμενοι.

326. Eustath. p. 883, 55. καινὸν δὲ οὐδὲν χόρτον[1]) αὐλῆς λέγεσθαι τὴν περιοχήν, ἀπὸ χόρτου κατ' ἀρχαϊσμόν, εἴγε καὶ τὸ χορτάζεσθαι[2]) κυρίως μὲν ἐπὶ ὑποζυγίων παρὰ τὸν χόρτον, τίθεται δὲ καὶ ἐπὶ ἀνθρώπων, ὡς καὶ Αἴλιος Διονύσιος παρασημειοῦται.

327. Eustath. p. 1752, 29. τὸ δὲ χύριον (l. χύρριον)[1]) πάνυ δυσχερὲς πῶς ἂν διὰ τοῦ ε ψιλοῦ γράφοιτο, εἰ μὴ ἄρα ἴσως κατὰ ὀνοματοποιΐαν τινά; ὅτι γὰρ ἄλλως μέτεστί τι τῶν χοίρων καὶ τῷ χυρρίῳ, δηλοῖ ὁ εἰπών, ὅτι χύρριον δεσμός, ᾧ δεσμεῖται τὰ χοιρίδια, καὶ ὅτι χύρριον ξύλον, ᾧ προσδεσμεύονται οἱ ὗς. ὑπονοεῖται δὲ κατ' ὀνοματοποιΐαν ἡ τοιαύτη εἶναι γραφή, ἐξ οὗ γράφει Αἴλιος Διονύσιος εἰπών· χύρρε· ἐπίφθεγμα πρὸς τοὺς ὗς.

Ψ.

328. Eustath. p. 1914, 26. λέγει δὲ καὶ Αἴλιος Διονύσιος, εἰ καὶ μὴ ἐπὶ νευρᾶς, ἀλλ' οὖν ἐπὶ χορδῶν μουσικῶν κεῖσθαι καὶ τὸ ψατάλλειν[1]) καὶ τὸ ψαθαλεῖν ἀντὶ τοῦ ψηλαφᾶν καὶ μαλάττειν.

Schol. Luc. vol. IV. p. 87. Jacobitz. (= An. Bachm. II. 331, 31.) Ap. Et. M. Schol. Luc. plenior doctrina Aelii Dionysii servata est, cf. Freyer. Stud. Lips. V. p. 264. not. 3. Fortasse inde glossa ἑτερομάσχαλος (ap. Phot. Suid. Schol. Ar. Vesp. 444) ad atticistas referenda est.

[6]) Conv. Phot. Suid. Schol. Ar. Lys. 45. Cf. Hes. Phryn. Lob. p. 238. Poll. VII. 49. Ex Hes. κιμβερικὸν (cf. Phot. Poll. VII. 49.) etiam hanc glossam atticistarum esse efficio, cf. Gell. VII. 12. Schol. Ar. Lys. 45.

326. [1]) Cf. Hes.

[2]) Conv. Lex. Bachm. 418, 17. Cf. Et. M. 814, 1. Gud. 569, 1. Orion. p. 165, 21. Poll. VI. 43. — Pamphilum fontem fuisse huius observationis docet Ath. III. 56. (p. 99E), ubi Ulpianus multis et egregiis testimoniis se a crimine, nimis tumide se dicere, defendere studet. Cf. Prol. Cap. V. § 3.

327. [1]) Etiam χύρριον glossam apud Aelium fuisse censeo propter Hes. s. v. — χύρρα habes ap. Hes. Ex ἐπιλογῇ λέξεων ἀρχαίᾳ laudatur ap. Eust. p. 855, 24., cf. fr. 337. De fonte vid. Nauck Ar. Byz. p. 166. Prol. p. 19. 68.

328. [1]) Conv. Suid. ψατάλλειν, ψαθάλλειν, cf. Hes. Moer. 214, 8. Bekk. B. A. 9, 6.

329. Eustath. p. 1445, 58. *τὰ τῶν τρυφώντων ψαιστὰ*[1]) *ἄλφιτα ὄντα, κατὰ Παυσανίαν, οἴνῳ καὶ ἐλαίῳ μεμαγμένα ἢ δεδευμένα.*

330. Eustath. p. 1881, 1. *διὸ καὶ ψιθύρου*[1]) *Ἀφροδίτης κατὰ Παυσανίαν ἱερὸν ἦν Ἀθήνησιν καὶ Ἔρωτος δὲ ⟨καὶ Ἑρμοῦ⟩. οὗ καὶ Δημοσθένης, φησί, μέμνηται ἐν τῷ κατὰ Νεαίρας. ἐκαλεῖτο δέ, φασι, ψίθυρος*[2]) *διὰ τὸ τὰς εὐχομένας αὐτῇ πρὸς τὸ οὖς λέγειν, ὅπερ ἐδήλου μὲν χρῆναι μυστηριάζεσθαι τὰ τοιαῦτα.*

331. Eustath. p. 1631, 4. *Παυσανίας δὲ καὶ ψιττάζειν λέγει τὸ ποιμενικῶς φθέγγεσθαι*[1])

Ω.

332. Eustath. p. 1279, 34. *ἰστέον δὲ ὅτι οἰμωγὴ μὲν ἐκ τοῦ οἰμώζω. αὐτὸ δὲ ἐκ τοῦ οἴμοι καὶ τοῦ ὤζειν*[1]), *ὅπερ ἀπὸ τοῦ ὢ γίνεται. τούτου δὲ ἡ χρῆσις παρ' Αἰσχύλῳ ἐν Εὐμενίσιν* (121). *λέγει δὲ περὶ τοῦ τοιούτου ῥήματος καὶ Αἴλιος Διονύσιος οὕτω· ὤζειν· τὸ θαυμάζειν, ὡς ὢ λέγειν, καθὰ καὶ οἰμώζειν τὸ οἴμοι λέγειν καὶ φεύζειν τὸ φεῦ λέγειν.*

333. Hellad. ap. Phot. Bibl. 559b 29. Bekk. *ὅτι Διονύσιός φησι μὴ λέγειν τους ἀττικιστὰς ὠνησάμην*[1]), *ἀλλ'*

---

329. [1]) Conv. Suid. Lex. Bachm. 419, 24. Hes. Cf. B. A. 317, 26. Et. M. 818, 41. Gud. 571, 53. Schol. Ar. Plut. 138. Tim. lex. Plat. s. v. *ψαιστά.* Galen. lex. Hippocr. XIX. p. 156., Kühn. Vide Jacobs. ad Anthol. Pal. V. 17.

330. [1]) Locum turbatum esse iam Meier intellexit, qui ex Dem. 1358, 6: *καὶ Ἑρμοῦ* excidisse vel librarii vel episcopi culpa contendit. Quae si inserueris, statim Paus. cum Harp. Suid. ad eundem fontem redire intelleges. — Cf. B. A. 317, 11. Preller, Gr. Mythologie. I.

[2]) *ψιθυρίζειν* verbum ap. Suid. Hes. Lex. Bachm. 420, 3. Schol. Ar. Nub. 1007.

331. [1]) Cf. Hes. *ψίττα.* et *ψιττάζων. ψίττα ἐπιφθεγγόμενος, ὅπερ ἐστὶ ποιμενικὸν ἐπίφθεγμα.* Cf. Schol. Theocr. IV. 38.

332. [1]) Etymologiam dubitanter attuli: recurrit ap. sol. Hesych. *ὤζοντες.* Phot. haec tantum exhibet: *ὤζειν· τὸ θαυμάζειν,* cf. Schol. Ar. Vesp. 1526.

333. [1]) Schwartz p. 163. veri simile tantum esse contendit, ut hic locus ad Ael. Dionysium referatur. — Quid posteriores senserint, optime habes ap. Phryn. Lob. p. 137. Cf. Poll. III. 126. Et. Gud. 636, 3. B. A. p. 95, 25 (ubi ad Lysiam provocatur). Schol. Ar. Plut. 7. — De re ipsa cf. Meisterhans p. 145. Not. 1259.

ἀντ' αὐτοῦ τὸ ἐπριάμην, καίτοι καὶ ὠνεῖσθαι καὶ ὠνήσατο καὶ ὠνούμενος καὶ τὰ ἄλλα λέγοντες.

334. Eustath. p. 1330, 10. *ἔστιν ὠμογέρων*[1]) *ὁ μήπω καθεψηθεὶς καὶ οἷον ἑφθὸς τῷ γήρᾳ γενόμενος, ἢ ὁ ἄωρος καὶ στερρὸς καὶ σκληρὸς καὶ μήπω πέπων, ἐξ οὗ ὁ πέμπελος*[2]). *ζητητέον δὲ εἰ ταὐτόν ἐστιν ὠμογέροντα εἰπεῖν καὶ προπόλιον. ἔστι δὲ προπόλιος*[3]) *κατὰ Αἴλιον Διονύσιον ὁ θᾶττον καὶ πρὸ τοῦ δέοντος πολιὰς ἐσχηκώς. ἀλλὰ ταῦτα μὲν ἄψογα πρεσβυτικὰ ὀνόματα. ἐν δὲ ἰδέᾳ σκώμματος*[4]) *βλασφημοῦνται οἱ πάνυ γέροντες Κρόνοι, Ἰαπετοί, Τιθωνοί, σαπροί, βεκκεσέληνοι, πρωτοσέληνοι, τυμβογέροντες, παρεξηυλημένοι*[5]) *ὅπερ ἐστὶν ὑπὸ γήρως ἀχρεῖοι, ὡς ἀπὸ ἐκτετριμμένων γλωσσίδων αὐλοῦ, ἔτι δὲ σοροπλῆγες καὶ σορόπληκτοι καὶ σορέλληνες*[6]), *περὶ οὗ καὶ προεγράφη· τούτου δὲ καὶ θηλυκόν, φασι, ἐπὶ πρεσβύτου τὴν σορέλλην ἀνάκρουσιν. οἱ δὲ τὰ τοιαῦτα γράψαντες*[7]) *καὶ λαλοῦσι καὶ περὶ Τιθωνοῦ, ὅτι τε εἰς τέττιγα μετεβλήθη, καὶ ὅτι ἐν ταλάρῳ ἢ κρατάλῳ* (l. *καρτάλῳ* cf. Mill. Mél. l. l.) *ἐκρεμάσθη.*

335. Eustath. p. 1324, 38. *ὠτοκάταξις*[1]) *κατὰ Αἴλιον Διονύσιον ὠτοθλαδίας· τὰ ὦτα τεθλασμένος ἐν παλαίστρᾳ.*

---

334. Totum locum, qui plerumque ex Ar. Byz. fluxit (cf. Nauck. p. 88. 98. Mill. Mél. p. 423. 429), hic inserui, quod nonnulla inde in atticistarum scrinia transierunt, cf. Prol. p. 19. 46.

[1]) Cf. p. 1784, 19. 1762, 17. Hes. Suid. Et. M. 821, 48. Lex. Bachm. 421, 20. Valcken. Animadv. ad Ammon. p. 54.

[2]) Cf. fr. 137., cf. Suid. Hes. Et. 660, 6. 230, 32. Schol. Lycophr. 682.

[3]) Cf. Nauck Ar. Byz. p. 97. not. 20. Athen. XIV. 622 C.

[4]) Quo in catalogo desideratur *θαλλοφόρος*: habes ap. Mill. Mél. p. 423. Cf. fr. 200. not. 1.

[5]) Explicatio vocis, quam Ar. Byz. ex. Ar. Ach. 681 deprompsit, debetur atticistis. Conv. Phot. Suid. Hes. Et. M. 348, 27. Cf. Schol. Ar. Ach. 681. Poll. IV. 73.

[6]) Non recurrit in excerptis Aristophaneis. Explicatio debetur atticistis, cf. Eustath. p. 1289, 16. *ἅπαξ δέ, φασιν, ἐνταῦθα ἡ λέξις* (*σορός*) *εἴρηται τῷ ποιητῇ, ἀφ' ἧς καὶ σορέλλην παρ' Ἀριστοφάνει εἰς γέροντα, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ.* Conv. Phot. Hes. Aristoph. fr. 198. Kock. Diogen. II. 58. Cf. Prol. p. 19.

[7]) Ad Aristophanem redit, cf. Mill. Mél. p. 423.

335. [1]) Conv. Hes. Cf. Suid. B. A. 116, 32. Poll. II. 83. IV. 144. *ὠτοκαταξίας*. Et. M. 826, 29. B. A. 287, 12. Phryn. Lob. p. 628.

336. Eustath. p. 561, 2. *ὦτος δὲ τό τε κύριον, ὡς ἐρρέθη, καὶ ὄρνεόν τι παρά τε Ἀριστοτέλει* (H. A. VIII. 12) *καὶ ἑτέροις, ὡς δηλοῖ καὶ ὁ εἰπών· ὦτος*[1]*· παραπλήσιος γλαυκί, ἔχων περὶ τὰ ὦτα πτερύγια. οἱ δὲ νυκτικόρακα. Αἴλιος δὲ Διονύσιος οὕτω περὶ τούτου φησίν· ὦτος*[2]*· ὄρνεον, ὃ περὶ τὰ ὦτα ἔχει πτερύγια. τοῦτο ἐπαινούμενον καὶ ἀντορχούμενον, ὥσπερ ὁ νυκτικόραξ, ἁλίσκεται. διὸ τοὺς χαύνους καὶ κενοδόξους ὤτους ἐκάλουν.* Cf. p. 1522, 55, *ἰστέον δὲ ὅτι τὸν λάρον*[3] *ἡ ὕστερον προσοχὴ παροιμιακῶς ἀποκληροῖ. ὅθεν καὶ λάρους τοὺς εὐήθεις φαμέν· οὕτω δὲ καὶ κέπφους*[4] *ἀπὸ κούφου, ὥς φασιν οἱ παλαιοί, ὀρνιθαρίου καὶ εὐμεταχειρίστου, καθὰ καὶ παρὰ τῷ κωμικῷ ἔστιν εὑρεῖν. καὶ ὦτοι*[5] *δὲ οἱ αὐτοί, ἀπὸ ὄρνιθος μιμηλοῦ καὶ εὐεξαπατήτου, ὡς ἀλλαχοῦ σαφῶς δηλοῦται. διὸ καὶ ἡ κωμῳδία σκώπτουσα τοὺς Ἀθηναίους*

ὦ μόνοι ὦτοι τῶν Ἑλλήνων (Com. III. p. 407, Kock)

ἔφη, ὡς ῥᾷον ἀπατωμένους οἷς ἀκούουσιν.

---

336. [1]) Conv. Hes.

[2]) Plane congruit Suid. Ex Aristot. H. A. VIII. 12. cognoscitur, eum librum ab A. Dionysio expilatum esse.

[3]) Duabus de causis fragmentum huc attuli: quod episcopus ad locum priorem provocat: quod explicatio prior cum posteriore coniuncta legitur ap. Et. M. 826, 20. Fontem habes Dionysii Aristoph. Byzantium, cf. Mill. Mél. p. 422. *ὦτος· εἶδος ὀρνέου μιμηλοῦ πρὸς ὠσὶ τὰς πτέρυγας ἔχοντος, ὁμοίου γλαυκί, ὡς Ἀριστοτέλης φησίν. οὕτω δὲ καὶ τοὺς εὐεξαπατήτους ἐκάλουν.* Cf. Prol. p. 54. Versus allatus ap. Kock, Com. III. p. 407. Cf. Athen. IX. 390D. = Eust. 1687, 54.

[4]) *λάρος* et *κέπφος* idem est, cf. Schol. Ar. Plut. 912. *κέπφος* Aristophaneum est, cf. Fragm. Par. §. 20. (Nauck. p. 81.) Mill. Mél. p. 421., cf. Prol. l. l. Non seiungendum putavi, quod eadem explicatio apud fere omnes lexicographos redit, cf. Phot. Suid. Hes. Et. M. 504, 1. Schol. Ar. Pac. 1067. = Schol. Nic. Alex. 165. Unde concludo etiam *κεπφωθείς* ocem eiusdem originis fuisse ap. Suid. Lex. Bachm. 275, 24. Hes.

Lexicorum rhetoricorum,

quae Eustathius laudat, fragmenta.

(cf. Prol. p. 16. sq.)

A.

337. **Eustath.** p. 855, 20. *καὶ κεῖται ἐν ἐπιλογῇ λέξεων ἀρχαίᾳ, ὅτι ἃ ἃ*[1]) *δασυνθὲν γέλωτα δηλοῖ. οὕτω καὶ βᾶ*[2]) *ἐπίρρημα παρὰ Ἑρμίππῳ* (fr. 19. Kock), *ὅπερ εἰώθαμεν ἀντεμβοῶντες λέγειν, ὡς καὶ τοῦτό φασιν οἱ παλαιοί. καὶ ταῦτα μὲν πρός τι, τουτέστιν ἀπό τινος φωνοῦντος πρός τινα ἕτερον. εἰσὶ δὲ καί τινες μιμητικαὶ φωναὶ αὐταὶ κατὰ αὐτοὺς τοὺς φωνοῦντας, ὡς τὸ ἀρῦ*[3]), *ἐπίφθεγμά φασι κωπηλατῶν· καὶ τὸ ὢ ὄψ*[4]) *φθέγμα τῶν ἀφιέντων τινὰς ἅμα τρέχειν· καὶ τὸ ὢ ὄπ ναυτικὸν*[5]), *πολλὰ δὲ καὶ ἄλλα, ἐν οἷς καὶ τὸ μᾶ*[6])

---

337. Ad **Aelium Dionysium** referenda sunt, quod voces *βὴ* et *χύρρε* laudatae ab illo explicatae redeunt, cf. fr. 92. 327. — De totius loci fontibus cf. Prol. p. 68. not. 1.

1) Phot. *ἃ ἄ· ἐπὶ τοῦ μεγάλου. ἔστι δὲ καὶ σχετλιαστικὸν ἐπιφώνημα. δασυνθὲν δὲ γέλωτα δηλοῖ, ὥς φησι Διογενιανός.* Boysen. de Harp. font. p. 62. hanc glossam et apud Photium et apud Eust. Diogeniano ipsi deberi censet. Cf. contra fr. 413. *οἶαξ*. Diogenianum iam in lexico rhetorico ipso nominatum esse puto, unde Eust. transcripsit. Fortasse omnia, quae Phot. (cf. Hes.) attulit, ad atticistam referenda sunt. Prior glossae pars ap. Schol. Ar. Plut. 1052.

2) *βᾶ* cf. B. A. 85, 31. ubi tamen lemma deest.

3) Cf. Hes. *ἄρρυ· ἐπίφθεγμα κωπηλατῶν, ὡς τὸ σίζε ἐπὶ κυνηγούντων καὶ τὸ σίττα ποιμένων.* et B. A. 446, 32.

4) Conv. Suid.

5) Tres glossae ap. Suid. Prima = Schol. Ar. Av. 1395, tertia = Schol. Ar. Ran. 208.

6) Ap. Theocr. non extat.

παρὰ Θεοκρίτῳ, καὶ τὸ ψὸ[7]) ποιμενικὸν, καὶ τὸ βὴ, περὶ οἵ ἀλλαχοῦ δηλοῦται, καὶ τὸ χύρρε συβοτικὸν, ὡς ἐν τοῖς εἰς Ὀδύσσειαν δεδήλωται, καὶ τὸ φίττα[8]) δηλωτικόν φασι τάχους οἷον,

„φίττα Μαλιάδες, φίττα ῥοαί“.

νυμφῶν δέ φασι ταῦτα ἐπωνυμίαι· ἔτι δὲ καὶ τὸ σίττε[9]) οἷον „σίττ' ἀμνίδες“.

338. Eustath. p. 1494, 64. ὁ μέντοι ἄβαξ[1]) ἀνάπαλιν, ὡς ἐν ῥητορικῷ κεῖται λεξικῷ τὸν ἄλαλον δηλοῖ καὶ ἀσύνετον καὶ ἄπειρον, παρὰ τὸ μὴ βάζειν. δηλοῖ δέ, φασι, καὶ σανίδιον ὁ ἄβαξ[2]), ὅθεν ἀβάκιον, ἐφ' οὗ ψηφίζουσιν. δῆλον δὲ ὅτι οὐκ ἂν χρῄζοι τῆς λέξεως τοῦ ἀβακεῖν ὁ καταλογάδην γράφων.

339. Eustath. p. 789, 51. ἐν δὲ παλαιῷ τινι κατὰ στοιχεῖον λεξικῷ γράφεται οὕτως· ἀβρόταξις[1])· ἁμαρτία, [διαμφόδησις] καὶ ἀβροτάξομεν[2])· ἁμαρτήσομεν ἀλλήλων. καὶ ὅρα τὸ διαμφοδῆσαι[3]) παρὰ τοῖς παλαιοῖς. ἀντὶ τοῦ ὧδε καὶ ἐκεῖ παρατρέπεσθαι καὶ ἀστοχῆσαι τῆς ὀρθῆς ἀμφόδου (= Cram. Anecd. Par. III. 373).

340. Eustath. p. 200, 1. ἐν δὲ ῥητορικῷ λεξικῷ γράφεται ταῦτα· ἀγανὸν[1])· τὸ καλὸν καὶ ἡδὺ καὶ προσηνές. ποτὲ

---

[7]) Cf. Phot. Et. M. 405, 32. Herod. II. p. 951, 25.

[8]) Eadem doctrina p. 1963, 40. Cf. Poll. IX. 127. Mill. Mél. p. 436. φίττα. τὸ ταχὺ σημαίνει (ex Suetonio). ψίττα Miller falso coniecit.

[9]) σίττα corrigendum, cf. Schol. Theocr. IV. 45. V. 3.

338. [1]) Cf. Hes. s. v. ἀβακήμων, ἀβάκην, ἄβαξ. B. A. 323, 3. 5. Et. M. 2, 1. — Ad idem lexicon vocem ἀβακῆσαι refero, cf. B. A. 323, 6. Cf. Et. M. 2, 32 (quod e lex. rhet. prodiit, cf. Heyden. p. 231), Suid. Lex. post Philem. Osanni p. 223. (Varinus Camers in Aldi Cornucop. p. 1.)

[2]) Differentiam vocum dubitanter attuli; recurrit ap. Ammon. p. 1. Valck. (= Ptolem. π. διαφ. λέξ. in Herm. XXII. 392). Eustath. p. 1397, 42 (qui ad Et. M. provocat p. 2, 1.). Cf. B. A. 323, 8. 17, 18. Suid. s. v. ἄβαξι, Poll. VI. 86, 90. Apollon. lex. hom. p. 2, 16. Bekk.

339. [1]) Conv. Hes.

[2]) Conv. Hes. (= Apollon. lex. hom. p. 3, 1), Et. M. 4, 35. Gud. 2, 1. 8. Orion. 13, 9. Cf. Eustath. p. 548, 14. Schol. Ven. *K* 65. Suid. Et. Gud. 1, 19. Or. 19, 28 (= Philem. ed. Osann p. 223, 2).

[3]) Dubitanter attuli: vocem, nisi apud Apoll. l. l., nusquam recurrere vidi.

340. [1]) Cf. Suid., qui inverso ordine eadem fere tradit et ipse ad alium

δὲ κατ' ἀντίφρασιν τὸ χαλεπόν· ἐν ἑτέρῳ δὲ, ὅτι ἔστι καὶ ἄγανον[2]) προπαροξυτόνως καὶ δηλοῖ τὸ κατεαγός. τραγικώτερον δέ, φησι, τὸ ὄνομα (= Cram. An. Par. III. 373, 32.).

341. Eustath. p. 1414, 28. ἰστέον δὲ, ὡς ἡ τολύπη καὶ ἄγμα λέγεται, τὸ καὶ κάταγμα παρὰ Σοφοκλεῖ (Trach. 695.). εὕρηται γοῦν ἐν λεξικῷ ῥητορικῷ, ὅτι ἄγμα[1]) οὐ μόνον σύντριμμα ἀλλὰ καὶ κατειργασμένον ἔριον. ὅτι δὲ καὶ βήρηξ[2]) ἡ αὐτὴ ἐλέγετο, δηλοῖ ὁ εἰπών· βήρηκες· φυράματα μαζῶν καὶ αἱ τολύπαι[3]) τῶν ἐρίων.

342. Eustath. p. 1394, 35. ἐν δὲ ῥητορικοῖς λεξικοῖς φέρεται καὶ ταῦτα· ἄδην[1])· Ἀττικοὶ τὸ δαψιλῶς, ὅθεν καὶ ἀδήφαγοι ἵπποι[2])· οἱ τέλειοι καὶ ἀδήφαγον ἅρμα[3]) διὰ τοὺς κατ' αὐτὸ τελείους ἵππους [καὶ ἄδος[4]) κόρος, πλησμονὴ, κάματος· ἀφ' οὗ ἀδόλεσχος, δι' ἑνὸς δ, ὁ καὶ ἀδολέσχης, καὶ ἀδαῖον[5]) παρὰ Σώφρονι τὸ εἰς κόρον ἔργον]. ἔτι δὲ καὶ ὅτι ἀδήφαγοι ἵπποι[5]) οἱ τέλειοι. τοῖς γὰρ πώλοις, φησὶν, οὐκ

---

auctorem (οἱ δὲ) provocat. Fusiora ap. B. A. 335, 12. (cf. Cratin fr. 238. Kock), cf. Apion. post Et. Gud. 604, 44. Et. M. 5, 57. Eustath. p. 1467, 60. Apollon. lex. hom. p. 5, 14. — Schol. Ar. Vesp. 1467. ἀγανός cum ἀγανοφροσύνη coniungit, cf. Hes. B. A. 324, 13. Schol. Eur. Or. 1392.

[2]) Cf. Suid. l. l. Hes. B. A. 335, 10. Schol. Ar. Lys. 886.

341. Aelii Dionysii esse puto, cf. Prol. p. 73. Fr. 8. not. 2.

[1]) Conv. B. A. 324, 19. Priora adiunxit Hes. (ubi πέμματα legas), cf. Suid. Et. M. 11, 47. Eust. p. 1399, 63. Lobeck, Aglaoph. p. 1064.

[2]) Conv. Hes. s. βάρακες. Cf. βήρηκες· τολύπη B. A. 226, 1. Poll. VI. 77. (ubi l. διηττημένων, cf. fr. 126). Doctrinam nostram cum fr. 8 coniunctam ap. Varin. Cam. in Ald. Cornucop. p. 3.

[3]) σφαῖρα excidisse puto, cf. p. 1337, 19. Nam vox τολύπη aut ad placentam aut ad glomera refertur, cf. Eust. p. 969, 12. Hes. Et. M. 761, 52.

342. [1]) Conv. Phot. Suid. Hes. Schol. Plat. Charm. p. 135 D. Et. M. 17, 52. Gud. 7, 23. B. A. 341, 16. Eust. p. 539, 1. Mill. Mél. p. 400. Sed ubique multo uberiora traduntur. — Deinde ἀδήφαγος glossa (ap. Phot. B. A. 341, 9.) excidisse videtur.

[2]) Cf. not. 6.

[3]) Cf. Phot. ἀδήφαγον ἅρμα B. A. 343, 26. — Fortasse huc referenda sunt B. A. 343, 27. (= Phot.) 203, 19., cf. Nab. Prol. p. 54.

[4]) Fortasse huc resp. Hes. s. v. ἄδδην. Graeculum posterioris aetatis hic agnoscere mihi videor.

[5]) Cf. Hes.

ἐδίδοσαν τροφῆς πλῆθος. Λυσίας δὲ καὶ ναῦν ἀδηφαγόν[6]) φησι τὴν τὸν μισθὸν λαμβάνουσαν ἐντελῆ. [καὶ λύχνους ἀδηφάγους. ὁποῖος ὁ ἐν ταῖς Νεφέλαις παρὰ τῷ Ἀριστοφάνει].

343. Eustath. p. 1387, 4. ἐν δὲ **ῥητορικοῖς λεξικοῖς** φέρεται καὶ ταῦτα· ἐκ τοῦ ἀθρόος γίνεται **ἄθρους**[1]), οἷον· ἄθρους ἐπελθὼν ὁ στρατηγὸς, ἤγουν σὺν ὅλῳ τῷ στρατεύματι. καὶ Ἀριστοφάνης (fr. 633. Kock)

ἑστῶτας ὥσπερ τοὺς ὀρεωκόμους ἄθρους.

344. Eustath. p. 307, 28. ἐν δὲ **ῥητορικῷ λεξικῷ** φέρεται οὕτως· **αἰγίλιψ**[1])· ἀπρόσβατος, ψιλὴ, ἀβόσκητος. ἰστέον δὲ ὅτι, ὥσπερ ἡ αἰγίλιψ ἐκ τῆς αἰγὶ σύγκειται δοτικῆς, οὕτω καὶ ἡ **αἰγίπυρρος**[2])· πόα, φασὶ, πυρρὰ, ἣν αἶγες κατανέμονται.

345. Eustath. p. 1500, 27. ἐξ οὗ (sc. ἄω) οὐ μόνον **ἀήτης**[1]) ἐπὶ ἀνέμου καὶ **ἀήσυρον**[2]) κατὰ τοὺς παλαιοὺς τὸ

---

[6]) Huc referendam esse puto Photii glossam uberrimam: ἀδηφάγοι· ἀγωνισταὶ ἵπποι οὕτως ἐκαλοῦντο ὡς Ἀριστοφάνης καὶ Φερεκράτης (fr. 197.). ἔφη δὲ καὶ ἀδηφαγοῦσα Σοφοκλῆς (Phil. 313.) καὶ ἀδηφαγεῖν Ἕρμιππος (fr. 84) ἀλλὰ καὶ ἀδήφαγον εἶπε Λυσίας (ἐν τῇ ὑπὲρ Εὐκρίτου διαμαρτυρίᾳ, cf. Harp. Hes.) τὴν τέλειον μισθὸν λαμβάνουσαν τριήρη· Ἀλκαῖος δὲ ὁ κωμικὸς (ἐν τῇ κωμῳδοτραγῳδίᾳ fr. 21. Kock., cf. Harp. Apostol. I. 37) καὶ τοὺς πότας λεγομένους λύχνους ἀδηφάγους ἔφη χαριεντισάμενος. καὶ δρομεῖς δέ τινες ἐν Νεμέᾳ ἀδήφαγοι ἐλέγοντο καὶ οἱ γυμναστικοὶ παρ' Ἀργείοις οὕτως. λέγουσι δέ τινες καὶ τὸν ἱερὸν λόχον ἀδήφαγον. Simillima redeunt ap. Harp. (cuius epitomen Phot. gl. 4 (Pors. p. 10, 15). Suid. exhibent). Hes. Poll. I. 121. Apostol. I. 37. Apostolii loco usi fortasse locum ex Nubibus tractum lexico rhet. reddere possumus. Similis fons fuit Moeridis p. 192, 9. Bekk.

343. Fortasse etiam plura, quae inde ab 1386, 62 proferuntur, ad att. reducenda sunt. Doctrinam **Aelii Dionysii** afferri puto. Sequuntur fr. 218. 254.

[1]) Cf. B. A. 350, 3. Hes. s. v. ἀθρόους. ἀθρόως. Schol. Ar. Ach. 26. Suid. Eust. 251, 39. 1788, 36.

344. [1]) Cf. Eust. p. 733, 35. 1041, 60. Similia ap. Et. M. 27, 43., qui sub f. οντως Ὠρίων. ἔστι δὲ καὶ ῥητορικὴ ἡ λέξις (cf. Heyden. p. 233.) Et. Gud. 14, 5.

[2]) Conv. B. A. 360, 19. — Unde corrige Et. M. 28, 18. αἰγίλωψ· πόα τις καὶ πάθος. αἰγίλωψ omnino nihil est. Conflatum esse puto ex αἰγίπυρος· πόα τις et αἱμάλωψ· πάθος (cf. Erot. p. 100, 6. Klein).

345. [1]) Tota doctrina inverso ordine recurrit p. 1547, 19. Plerumque convenit lex. (quod a principio αἱμωδεῖν Arthur. Kopp. appellavit) post

κοῦφον, ὅθεν καὶ „ἀήσυροι μύρμηκες" παρὰ Αἰσχύλῳ (Prom. 454.) ἀλλὰ καὶ ἀΐτης[3]) διὰ διχρόνου, ὁ ἐρώμενος, ἤγουν ὁ εἰσπνέων τῷ ἔρωτι τὸν ἐραστήν. εἰσπνεῖται γάρ, φασι, τῆς μορφῆς τι καὶ τῆς ὥρας. ὅθεν καὶ εἰσπνίλαι παρὰ Λάκωσιν αἱ ἐρασταί. καὶ ταῦτα μὲν ἔν τινι ῥητορικῷ λεξικῷ, ἐν ἑτέρῳ δὲ ὁ ῥηθεὶς ἀΐτης[4]), ἤγουν ἐρώμενος, διὰ διφθόγγου φέρεται.

346. Eustath. p. 1066, 20. ὅτι δὲ περιεκτικὸν ἐκ τῆς χαράδρας ὁ χαραδρεὼν, αἱ ῥητορικαὶ δηλοῦσι χρήσεις, ἐν αἷς καὶ ἐξ ἀκάνθης καὶ ὁ ἀκανθεών.

347. Eustath. p. 852, 37. ἐν δὲ ῥητορικῷ λεξικῷ φέρεται, ὡς ὁ ἀκήριος[1]) οὐ μόνον ἄψυχος, ἀλλὰ καὶ ἄνοσος, ὑγιὴς, ἀθάνατος, μὴ ὑποκείμενος δηλαδὴ κηρί.

348. Eustath. p. 1393, 32. ἰστέον δὲ ὅτι ἐκ τοῦ „ἀλάωσεν ὀφθαλμοῦ" κεῖται ἐν ῥητορικῷ λεξικῷ ἀλαωπὸς[1]) σύνθετος ὁ ἀφανὴς ἢ ὁ τυφλός. ὡς νυκτάλωψ[2]) ὁ νύκτωρ ἀλαὸς τοὺς ὦπας· καὶ νυκταλωπῶν[3]) ὁ νυστάζων. ἐκ δὲ τοῦ ἀλάωσε γίνεται ἀλαωτὸς[4])· ἡ τύφλωσις.

349. Eustath. p. 1783, 37. ἀπὸ δὲ τῆς ἄλης, ὅτι καὶ ὁ ἀλήτης καὶ ὁ ἀλαζὼν, δῆλον. κεῖται γὰρ ἐν ῥητορικῷ λεξικῷ, ὅτι ἀλαζὼν[1]) κυρίως ὁ ἀπὸ ἄλης ζῶν καὶ ἀγύρτης, ἁπλῶς δὲ ὁ φέναξ.

350. Eustath. p. 764, 14. δῆλον δὲ ὅτι καὶ τὸ τοίχους

Et. Gud. p. 617, 46 cum priore lexico. Idem respexit Eustath. p. 732, 24. 1300, 54. — ἀήτης cf. Suid. Hes. Et. M. 23, 17. 43, 11. 387, 31. Gud. 12, 26.

2) Cf. Hes. Suid. B. A. 349, 12. Et. M. 23, 21.

3) Cf. not. 1. Recurrit in Et. M. 43, 21. Schol. Theocr. XII. 1.

4) Cf. B. A. 348, 2. Aristoph. fr. 738. Kock.

347. 1) Huc respicit p. 1715, 56. — Conv. Hes. s. v. ἀκήριοι. Glossa eius ἀκήρεα ex Eust. 1715, 56 corrigenda est. Cf. Et. M. 47, 50. 573, 38.

348. 1) Fortasse huc Hes. s. v. ἀλαῶπιν respicit.

2) Cf. Et. M. 608, 54. 609, 33.

3) Iam M. Schmidt. gloss. Hes. νυσταλωπιᾶν huc rettulit.

4) Cf. Hes.

349. 1) Cf. p. 1909, 57. κατὰ παλαιὰν παράδοσιν ἀλώμενος ζῶν. Cf. Suid. gl. 2. B. A. 374, 20., cf. Com. I. p. 763. (Alc. fr. 31.) Kock. Ribbeck. Alazon. p. 96. Platonem in B. A. allatum cave comicum putaveris, cf. Tim. Lex. Plat. ἀλαζών. Doctrinam Aristophaneam atticista sibi adsumpsit, cf. Mill. Mél. p. 419. Prol. p. 54. — Similia, sed a nostra glossa diversa, Suid. gl. 1. B. A. 374, 18. Hes. Et. M. 55, 42., cf. Gaisf. p. XLVIII.

χρίειν ἀλείφειν λέγεται καὶ ἀλοιφή. διὸ ἐν ῥητορικοῖς λεξικοῖς φέρεται, ὅτι ἀλοιμὸς[1]) τὸ αὐτὸ καὶ ἀλοιφὴ[2]) τὸ τῶν ἐν οἴκοις τοίχων χρίσμα καὶ ὅτι ἀλοιφεῖον[3]), ᾧ οἱ ἀλεῖπται χρῶνται.

351. Eustath. p. 1257, 40. ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται καὶ ταῦτα· ἀλύσσειν[1])· τρέμειν, πάλλεσθαι, πηδᾶν, δυσφορεῖν, λύσιν μὴ εὑρίσκειν, μαίνεσθαι. εἴρηται δέ τι περὶ τούτου καὶ ἐν τοῖς εἰς Ὀδύσσειαν (p. 1636, 24), ἔνθα τὰ κατὰ τὸν Ἶρον.

352. Eustath. p. 1283, 1. ἀμφιθαλὴς[1]) δὲ παῖς ὁ ἀμφοτέρωθεν θάλλων [ἤτοι εὐδαιμονῶν], ἤγουν, ᾧ πατὴρ καὶ μήτηρ περίεισιν. ἅπαξ δὲ ἡ λέξις εἴρηται παρὰ τῷ ποιητῇ (*X* 496.). ἑτεροθαλὴς μέντοι, ᾧ θάτερος τῶν φυσικῶν τούτων κλάδων ἀπέσπασται, καθ' ἣν ἔννοιαν καὶ παῖδες πατρὸς μὴ ὁμομήτριοι ἑτεροθαλεῖς λέγονται. — οἱ δὲ παλαιοὶ λέγοντες, ὅτι ἀμφιθαλεῖς οἱ ἔχοντες ζῶντας τοὺς δύο γονεῖς, προστιθέασι, καὶ ὅτι οἱ τοιοῦτοι τὰς τότε εἰρεσιώνας διεκοσμοῦντο.

353. Eustath. p. 1920, 30. περιρρηδὴς[1]) δὲ ὁ ἐρραντισμένος αἵματι, ὡς ἀπὸ τοῦ ῥάζω, περὶ οὗ προείρηται (p. 1887, 45). οὗ δεύτερος ἀόριστος ἔρραδον. ὅθεν ὁ περιρρηδής. εὕρηται δὲ καὶ ἀμφιρρηδὴς[2]) ἐν ῥητορικῷ λεξικῷ καθ' ὁμοιότητα τούτου λεχθέν.

---

350. [1]) Conv. Hes., cf. Eustath. p. 975, 48., qui paullo ante Pausaniam depinxit. Et. M. 69, 41. B. A. 385, 9.

[2]) Hes. Suid. B. A. 379, 18. — Fortasse gl. ἄλειφα ex eodem fonte deducta est, cf. Hes. Galen. vol. XIX. p. 74. Kühn. B. A. 375, 7.

[3]) Conv. Hes. s. v. ἀλείφιον.

351. Pausaniam agnoscere mihi videor, cf. Eust. p. 1636, 24. ἐξ οὗ ἐν Ἰλιάδι τὸ ἀλύσσειν, cf. not. 1. ad fr. 40.

[1]) Cf. Hes. s. v. ἀλύσσοντες, ἀλύσσειν. Et. M. 72, 45. 54.

352. [1]) Non dubium, quin Eust. sese hoc loco ad atticistas ablegaverit, cf. fr. 157. — Convenit Suid. (= Schol. Ar. Av. 1737.) Hes. B. A. 383, 31. Et. M. 92, 33. Cf. Eust. p. 1445, 50, qui etiam ἀμφίδουλος, ἀμφίβολος eodem modo e veterum usu explicare studuit.

353. [1]) Cf. Phot. (= Lex. Bachm. 340, 6. Suid.), qui eandem corruptelam ἐπ' ὀχημάτων prae se ferunt, cf. Nab. l. l. — Cf. Hes. Erot. p. 110, 6. Klein. Galen. XIX. p. 130. Kühn. Et. M. 664, 31. Schol. Apoll. Rhod. I. 431. IV. 1581.

[2]) Non aliunde cognitum est.

354. Eustath. p. 1095, 8. δῆλον δὲ ὅτι τοῦ ἀναβεβρυχέναι λειότερον τὸ ἀναβλύζειν ἐστίν. αὐτὸ δὲ καὶ ἀναβλυσθονεῖν[1]) λέγεται, ὡς ἐν ῥητορικῷ εὕρηται λεξικῷ.

355. Eustath. p. 1291, 35. ἄναντα[1]) δὲ τὰ προσάντη καὶ ἀνωφερῆ. κάταντα[2]) δὲ τὰ κατωφερῆ. πάραντα[3]) δέ, ὡς ἐν ῥητορικῷ κεῖται λεξικῷ, πλάγια ἑτεροκλινῆ ἢ προσώμαλα καὶ γήλοφα. δόχμια δὲ τὰ πλάγια.

356. Eustath. p. 1667, 64. ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται καὶ ταῦτα· Ἄορνος[1]) λιμὴν περὶ Τυρσηνίαν. καὶ ἐν Κύμῃ δέ, φησι, τῇ Χαλκιδικῇ Ἄορνος λίμνη, περὶ ἣν πεφυκότων πολλῶν δένδρων μηδὲν τῶν ἀποπιπτόντων φύλλων ἐμπίπτειν εἰς αὐτήν. εἶναι δὲ καὶ νεκυομαντεῖον ἐκεῖ, [ταὐτὸν δὲ εἰπεῖν ψυχοπόμπιον[2]) κατὰ τὸν γράψαντα, ὅτι ἔστι καὶ ἐν Μολοττοῖς ψυχοπόμπιον, ὅθεν θεοὶ Μολοττικοὶ οἱ ἐν τούτῳ].

357. Eustath. p. 952, 10. δοκεῖ δὲ Αἰολικὸν εἶναι τὸ σκῦλον, ὡς φαίνεται ἐν ῥητορικῷ λεξικῷ, ἐν ᾧ κεῖται, καὶ ὅτι ἀποσκολύπτειν[1]) τὸ ἀφαιρεῖν τὸ δέρμα, ὅθεν καὶ τὸ σκυλεύειν μεταφορικῶς.

358. Eustath. p. 1156, 17. ἡ δὲ ἄρκτος ὅτι μετὰ τοῦ τ λέγεται, δηλοῖ ὁ γράψας οὕτως· ἀρκτὸν, οὐχὶ ἄρκον[1]). τὸν μέντοι ἄνεμον ἄνευ τοῦ τ ἀπαρκίαν διὰ τὸ εὔφωνον καὶ

---

354. [1]) Multo plura ap. Suid., qui Eupolidem testem adhibet (fr. 105. Kock). Cf. Et. M. 200, 54. Hes.

355. Cf. Prol. p. 17. Pausaniae fragmentum est, cf. fr. 136., ubi Paus. δόχμια τὰ πλάγια explicantem habes: αὐτολεξεί recurrit ap. Et. M. 98, 25.

[1]) Eadem Hes. Suid. B. A. 391, 25 ἄναντα. ἀναντές.

[2]) Conv. Phot. Suid. Hes. gl. 2. Lex. Bachm. 270, 17.

[3]) Schol. Hom. Ψ 117. Hes.

356. [1]) Conv. Et. M. 115, 52. B. A. 413, 31. (qui ad Soph. provocat), cf. Hes. s. v. Suid. Schol. Ar. Ran. 475.

[2]) Verba uncis inclusa ap. lexicographos desunt. Fortasse pertinent ad finem libri VII. Strab. deperditum.

357. [1]) Cf. B. A. 435, 24. Hes. s. v. ἀποσκόλυπτε. B. A. 423, 1. Et. M. 125, 41. 120, 26. Poll. II. 176.

358. [1]) Ad lex. rhet. referendum, cf. fr. 73., ubi fere eadem doctrina recurrit. Nostra repetita et in breve contracta legis apud B. A. 445, 14. Cum sub finem de ἅμαξα eiusque ψιλώσει agatur, Aelium Dionysium auctorem illius lexici rhetorici fuisse suspicor, cf. fr. 218.

τὴν ἐκεῖθεν πνοὴν ἄρκιον, εἰς ὃ καὶ φέρει ἐκεῖνος χρῆσιν ταύτην (Aesch. fr. 127. Nauck.)

καὶ μὴν πελάζει καὶ καταψύχει πνοὴ
ἄρκιος ὡς ναύτῃσιν ἀσκεύοις μολών.

τὸ δὲ ἅμαξα οἱ παλαιοὶ ψιλοῦσιν.

359. Eustath. p. 1289, 48. τὸ δὲ ἀμφ' ἀστραγάλοισιν Ἀττικῶς ῥηθὲν εὕρηται καὶ γένους θηλυκοῦ. [ἐν γὰρ παλαιοῖς ὑπομνήμασι φέρεται, ὅτι οἱ πλείους ἀμφ' ἀστραγάλῃσι γράφουσιν]. καὶ ἔστιν Ἰωνικὸν ἡ ἀστραγάλη[1]), ὡς καὶ ἐν ῥητορικῷ εὕρηται λεξικῷ, ἐν ᾧ καὶ ὅτι τοὺς ἀστραγάλους καὶ ἀστρίχους[2]) λέγουσιν.

360. Eustath. p. 1872, 3. ὁ δὲ σῦς, ὡς καὶ αὐτὸ ἐν ῥητορικῷ κεῖται λεξικῷ, καὶ ἀσχέδωρος[1]) λέγεται. φησὶ γάρ· ἀσχέδωρος ὁ σύαγρος παρὰ Ἰταλιώταις. ἠγνόησαν δὲ οἱ ἀποδόντες τὸν ἄσχετα δωρούμενον. [ἤγουν οἱ ἑρμηνεύσαντες, ὅτι ἀσχέδωρός ἐστιν ὁ ἄσχετα δωρούμενος, ὡς οἷά τις μεγαλόδωρος]. χρῆσις δέ, φασιν, ἀσχεδώρου παρ' Αἰσχύλῳ διατρίψαντι ἐν Σικελίᾳ καὶ εἰδότι. φησὶ γὰρ (fr. 261. Nauck.)·

ἔδυ δ' ἐς ἄντρον ἀσχέδωρος ὥς.

λέγει δὲ καὶ ἡ κωμῳδία. (Sclerias Meleagro)

ἔνθ' οὔτε ποιμὴν ἀξιοῖ νέμειν βοτὰ
οὔτ' ἀσχέδωρος νεμόμενος καπρῴζεται.

ἔνθα καὶ ὅρα τὸ καπρώζεται[2]), οὗ ὥς που ἐν Ἰλιάδι προε-

---

359. Uncis inclusa conv. cum Schol. Ven. A. ad Ψ 88.

[1]) Eadem doctrina, sed multo fusior ap. B. A. 454, 22. Cf. Hes. Et. M. 159, 40. Cum forma Ionica explicetur, ad A. Dionysium refero.

[2]) Altera glossa priori addita ap. B. A. 455, 2. Cf. Hes. s. v. ἄστριες. Et. M. 159, 32. Utramque formam (ἄστρεις et ἄστριχοι) atticis in usu fuisse docet Eust. p. 1397, 35. λέγει δὲ καὶ (sc. ὁ περὶ παιδιῶν γράψας) ἀστραγάλους, οἳ καὶ ἄστριες καὶ ἀστράγαλοι λέγονταί φησιν. Unde iterum Aristophanis thesauros per Suetonium ad attic. (et ad Poll. X. 99) transisse apertum est. Fortasse etiam Schol. Plat. Lys. p. 206E., et ea, quae ap. Eust. locum nostrum sequuntur, ad atticistas referenda sunt, cf. Giesing. p. 41. sq. Cohn, Jahrbb. XII. p. 360. sq.

360. Aelium Dionysium auctorem agnosco, cf. not. 2.

[1]) Cf. Eust. p. 774, 23. B. A. 457, 21. Hes. ἀσχέδωρος· ὁ σύαγρος παρὰ Ἰταλοῖς, ubi non cum Nauckio l. l. nomen Aeschyli restituendum est.

[2]) Cf. fr. 220. et Eust. p. 853, 37. — Ad fontem A. Dionysii (fortasse Pamphilum, cf. Schönem. p. 87. 89.) perveneris ex Ath. IX. 402B., qui cum lex. rhet. plane congruit. Atticistae doctrina cum Athe-

σημάνθῃ, θέμα παρ' ἄλλοις πρωτότυπον τὸ καπρᾶν. ἐξ οὗ καὶ γυνὴ καπρῶσα ἡ μάχλος.

361. Eustath. p. 73, 39. ἔτι ἰστέον καὶ ὡς διφορεῖται ἄφενος[1]) κατὰ τὸ γένος. καὶ Ὅμηρος μὲν οὐδετέρως προάγει αὐτὸ λέγων

ἄφενος καὶ πλοῦτον ἀφύξει.

εὕρηται δὲ παρά τισι καὶ ἀρσενικῶς ὁ ἄφενος. οὕτω καὶ ὄσσος[2]) ἐπὶ ὀφθαλμοῦ διφόρησιν ἔχει, ὡς προδεδήλωται. κατὰ δὲ Ἡρωδιανὸν καὶ τάριχος[3]) ἑκατέρως λέγεται. τὸ τάριχος γὰρ καὶ ὁ τάριχος. φέρει δ' ἐκεῖνος καὶ χρήσεις ἀμφοῖν. Μένανδρος (fr. 178. Kock.)

ἐπέπασα ἐπὶ τὸ τάριχος ἅλας

Φιλιππίδης· (fr. 34. Kock.)

τυροὺς καὶ ταρίχους

Ἀριστοφάνης (fr. 630. Kock.)

ἐπὶ τῷ ταρίχει τὸν γέλωτα κατέδομαι.

ὁ αὐτός· (fr. 220. Kock.)

τάριχον τοῦτον πλύνω.

δῆλον δὲ ὡς οὕτω καὶ ὁ σκότος[3]) φέρεται καὶ τὸ σκότος [καὶ τὸ ὄνειδος[4]) καὶ ὁ ὄνειδος. καὶ τὸ χρεῖος[5]) [ἤγουν χρέος] καὶ ὁ χρεῖος παρὰ Φίλωνι (Herennio Philoni?), ὅθεν ὁ

---

naei verbis inde a vocibus χρῆσις δέ, φασι, κτλ. ab episcopo ita contaminata esse videtur, ut utrumque locum poeticum ex Naucratita desumeret, deinde vero ad lex. rhet., quod ante evolverat, reverteretur, ut καπρῴζεται vocis (cf. fr. 220. c. not.) explicationem adiungere posset.

361. [1]) Quem locum ex parte atticistis deberi puto. Cf. Prol. 32. — ἄφενος cf. 1302, 17. 1387, 8 ubi vox intercedit inter fr. lex. rhet. ἀθρόος no. 343 et fr. 218. καθημαξευμένως, cf. Suid. Hes. Et. M. 178, 5. Et. Gud. 95, 53.

[2]) Ex lex. rhetor. petitum, cf. fr. ὄσσος et notas ibi congestas.

[3]) Cf. fr. 217. not. 18. et not. 30. 31. Utraque glossa ex Aelio Dionysio prodiit. Cf. Athen. III. 119 B.

[4]) Cf. Eust. 453, 15. 953, 51. (ubi statim sequitur fr. σκότος) 1632, 17. (ubi de ἄφενος et ἔλεος agitur) Et. M. 626, 15. 37.

[5]) An sequentia atticistis debeantur dubium est, cum testimonia lexicographorum desint. Ad νείκη cf. Eust. 1410, 17. χρεῖος fortasse adiectivo sensu accipiendum est, cf. Moer. 213, 15. — βλάβος cf. Suid. Ar. Ran. 1151. — τρίβος ap. Eust. 1200, 34. 1327, 37. (qui locus ex Ar. Byz. desumptus esse videtur). Et. M. 767, 57.

ἀχρεῖος σύγκειται. πολλὴ δὲ καὶ ἐν ἄλλοις η διφόρησις, ὡς καὶ ἡ νείκη δηλοῖ καὶ τὸ νεῖκος καὶ ἡ δίψα καὶ τὸ δίψος καὶ ἡ βλάβη καὶ τὸ βλάβος. ἔτι δὲ καὶ ἡ τρίβος καὶ ὁ τρίβος, ὥς φησιν Εὐριπίδης.]

362. Eustath. p. 1429, 18. εὕρηται γὰρ ἐν λεξικῷ παλαιῷ ἐκφερομένῳ κατὰ στοιχεῖον, ὅτι ἄωτοι· οἱ νεκροὶ[1]), ὅπερ εἴληπται ἐκ τοῦ

κωφὴν δὴ γαῖαν ἀεικίζεις.

ἐκεῖ δὲ κεῖται καὶ ὅτι ἀωτεύειν[2]) τὸ ὑφαίνειν καὶ ὑπνοῦν. τοῦτο μὲν ἐκ τοῦ

πάννυχον ὕπνον ἀωτεῖς (*K* 159)

ἐκεῖνο δὲ ἐκ τοῦ

ὑφαινομένου ἀώτου

ἐρίου δηλαδὴ ἢ λίνου.

B.

363. Eustath. p. 1404, 47. ἐν δὲ ῥητορικῷ λεξικῷ φέρεται, ὡς τρία σημαίνει τὸ βάλλειν[1])· τὸ προέσθαι, τὸ ῥῖψαι, τὸ τρῦσαι.

364. Eustath. p. 812, 44. [τὸ δὲ βαμβαίνειν[1]), ὅ ἐστι συγκρούειν τοὺς ὀδόντας, ἀπὸ τοῦ κατὰ στόμα ψόφου κατὰ τοὺς παλαιοὺς ἐσχημάτισται. καὶ ἔστι, φασί, δυσερμήνευτον. συμβαίνει δὲ τοῖς ῥιγοῦσι καὶ τοῖς ὑποπτήσσουσι καὶ θέλουσι μὲν λαλῆσαί τι, ἀπορουμένοις δὲ καὶ ὑποτρέμουσι καὶ οὕτω τοὺς ὀδόντας συρρήσσουσιν]. ἰστέον δὲ ὅτι ἐν ῥητορικῷ τινι λεξικῷ φέρεται βαμβαλίζειν[2]) τὸ τρέμειν ὑπὸ

---

362. [1]) Significatio allata nusquam iteratur.

[2]) Priorem explicationem B. A. 476, 22 exhibet. Alterius similia ap. Et. M. 57, 55. 117, 47. Et. Gud. 11, 30. 30, 2. Hes.

363. [1]) Fortasse huc respicit Hes. *βάλε.* — Heyden p. 232. ex eis, quae apud Eustathium sequuntur, glossam Et. M. p. 198. extr. *βλάξ* rhetoricam ad atticistas referre studet.

364. [1]) Uncis inclusa Eust. petivit ex schol. Hom. ad *K* 375, ut schol. Ven. A. statim probat. Venetus tradit *οἱ δὲ ἐσχημάτισαν,* episcopus *κατὰ δὲ τοὺς παλαιοὺς ἐσχημάτισται* exhibet, unde iam Eustathio, qui fuerint *οἱ παλαιοί,* ignotum fuisse constat, cf. Prol. p. 20. Lexicographum vero utrique, et scholiastae et episcopo, subesse docet Hes. s. v. *βαμβαίνων.*

[2]) An recte Eustathius lexicon exscripserit, dubium est. Schol. Ven. l. l. *βαμβαλίζειν* posterioris aetatis esse docet. Fortasse *βαμβαίνειν* vo-

ψύχους, ἐν δὲ ἑτέρῳ, ὅτι βαμβαίνων[3]) μὲν βήματα βάλλων, καὶ βῆμα πορευόμενος καὶ παπταίνων. βαμβαλίζων δὲ ῥιγῶν, ἀπολλύμενος.

